MASTER NEGATIVE NO. 91-80289-6

AUTHOR:

APOLLODORUS, OF ATHENS

TITLE:

APOLLODORI BIBLIOTHECA ...

PLACE:

LIPSIAE

DATE:

1854

Master Negative #

91-80289-6.

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Bibliotheca. 1854.

Apollodorus, ~~Atheniensis~~ of Athens.

Apollodori Bibliotheca, ex recognitione Immanuelis Bekkeri. Lipsiae, sumptibus et typis B. G. Teubneri, 1854.

viii, 143 p. 17½ cm. (Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)

 Another copy.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x

IMAGE PLACEMENT: IA (IIA) IB IIB

DATE FILMED: 10.22.91 INITIALS V.W.D.

FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202

Centimeter

1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm

1 2 3 4 5

Inches

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

APOLLODORI

BIBLIOTHECA

EX RECOGNITIONE

IMMANUELIS BEKKERI

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI
MDCCCLIV

PRAEFATIO

Apollodorus quia codices nec multos nec bonos habet, magnum dat coniecturae campum. velut p. 3 v. 3 *Κόττον* Heynius posuit: legebatur *Κοῖον* v. 13. *νεώτατον* Aegius: *γενεώτατον* vel *γενναιότατον* *δὲ* H: *τε* 25. *μὲν ἐν* Faber: *μὲν* 4 4. *τοῦτον**: *τοῦτον μὲν* 10. *ἔδωκε**: *δέδωκε* 24. *καθιστᾶσι**: *καθίστασαν* 27. *ᾍδου**: *ᾅδῃ* 5 14. *Ἀελλὼ καὶ**: *Ἀελλὼ* 15. *Φορκίδες* H: *φορκιάδες* vel *φορκυάδες* 22. *Νεόμηρις*] *Νημερτής* Gales 23. *Δηιάνειρα*] *Ἰάνειρα* H *Πολυνόη* Hesiodo *Πολυνόμη* *Νησαίη* Commelinus: *ἰσαίη* 24. *Εὐμόλπη* Hesiodo *Εὐπόμπη* *Ἰόνη*] *Ἠιόνη* H 27. *Ἄρην* H: *ἄργην* vel *ἄρνιν* 6 9. *ἀναγαγεῖν* H: *ἀγαγεῖν* 7 7. *Μήτιδι* H: *Θέτιδι* vel *Θέμιδι* 25. *Θύμβρεως*: *Ὕβρεως* plerique 8 10. *γινομένης* Aegius: *γενομένης* 11. *ταὐτὸ* Commelinus: *αὐτὸ* 18. *ἔγημε μὲν**: *μὲν ἔγημε* 23. *παῖδα ἕνα*] *Κηδαλίωνα* Lennepius 31. *δισκεύειν* *ὀιστεύειν* Jacobs 9 18. *Μεγανείρᾳ* alii 27. *Μετανείρας*: *Πραξιθέας* 29. *αἰρόμενος*] *φερόμενος* Hercherus 10 17. *Παλλήνῃ* H: *Πελλήνῃ* *οὐρανὸν* H: *οὐρανοὺς* 28. *ὃ* H: *αὐτὸς* 30. *Παλλήνης*: *σελήνης* 11 5. *Εὔρυτον*] *Ῥοῖτον* Bentleius 14. *Γρατίωνα*] *Ἐλατίωνα*? an *Αἰγαίωνα*? 20. *Κιλικίᾳ* Palmerius: *Σικελίᾳ*. similiter 12 13 26. *ἐκ* — 27. *δρακόντων*] haec nescio an post 28. *ἐχιδνῶν* aptius ponantur 12 4. *ἐφέροντο*] *ᾤχοντο*?* 7. *κατέπτηξεν* Commelinus: *κατέπτησεν* 16. *φύλακα* addidit Faber 14 5. *Ὀρσηίδος*] *Ὀρειάδος* H 26. *ἐγέννη-*

σεν Scaliger: ἐποίησεν 15 4. θεοὺς H: θεὸν 30. μὲν addidit Hercherus 16 18. τῆς Κλεοβοίας] τῆς Κλεοδαίου vel ἢ Κλεοβοίας H 21. τῆς addidit H 22. μὲν addidit Hercherus 31. αὕτη*: αὐτὴ 17 32. τεκνοποιήσασθαι Faber: τέκνον ποιήσασθαι 18 16. τῆς θήρας] τοῦ θηρὸς Faber 19 2. ἀποκτεῖναι Faber: ἀποστεῖλαι, quod tuetur Sevinus omisso 1. ὄντα

12. Ἀντίοχον Faber: Ἀντιόχην 23. Ἀλκμαίωνος H: ἄλλου 28. ἔδωκε*: δέδωκε 20 1. ἢ addidit Emperius 4. παῖδα μὲν*: μὲν παῖδα 18. γῆν H: τὴν μεταξὺ γῆν 21 2. κατοικήσῃ*: κατοικήσει 22 14. ἐπωδύρετο*: ἀπωδύρετο 30. Ταῦρος*: Ταῦρος καὶ 31. Πυλάων: Λυκάων schol. Apollon. Ἐπίδαος Ῥάδιος] Ἐπιλέων Φράσιος idem 23 22. προσερπύσαντες?* 27. διὰ Piersonus: ἐπὶ 31. Ἰφίκλου Aegius: Φυλάκου 24 1. οὗ H: ὃν 7. δέσμιος*: δεσμοῖς 9. κρυφαῖον: κορυφαῖον Aegius 11. ἀποκρινομένων*: ἀποκριναμένων 16. γεννῶνται*: γένωνται 28. ἔδωκε*: δέδωκε 25 1. ἐπὶ Munkerus: ὑπὸ 11. καὶ addidi 23. σπείραις Toussaintus: σπείραμα 27. ἕληται H: ἕληται πατὴρ ἢ μήτηρ ἢ γυνή 30. ἀνεκόμισε addidit Zenobius 27 12. ἀναχθέντες H: ἀνενεχθέντες 13. τότε H: ποτὲ 26. πάλιν*: ἀγνοοῦντες πάλιν 28 19. ἐβασίλευεν Faber: ἐβασίλευσεν 19. καὶ νύμφης Βιθυνίδος H 20. προσίσχοντας*: προσχόντας 24. αὐχένα Palmerius: ἀγκῶνα 25. πρὸς: ἐπ'?* 29 5. ἐπειδὴ*: ἐπειδὰν 30 3. ὑπὲρ*: ὑπ' 23. ἧκε H: ἧκε καὶ 25. δὲ addidit H 29. ἐπέτασσε H: ἐπετάσσετο 31 13. ἀθρόους H: ἀρθρόως 14. βάλλειν Emperius: βάλλῃ 19. σκείροντος: σπείραντος H 20. ἀφανῶς vel ἐξ ἀφανοῦς Faber 22. κατεξευγμένων Faber: καταξευγνυμένων 32 8. τοῖς δὲ H: τοῖς 9. Ζεὺς H: δὲ Ζεὺς

14. Λιγύων Scaliger: Λιβύων 30. Κεραυνίοις H: Κερκυραίοις 31. Ἰλλυρίδα Gales: ἁλμυρίδα 33 3. ἀποπέμψειν Emperius: ἀντιπέμψειν 10. κατήστραψεν Gales:

κατέστρεψεν 13. αἰγλήτου H: Αἰγαίου 23. τέρμα Faber: δέρμα 34 8. θυσίαν H: θυσίας τὸ addidi

10. Πελίᾳ Gales: Πελίαν παῖδα idem: παῖδα ὡς πρὸς πόλεμον 18. αὐτοῦ Ἀστερόπειαν δηλαδὴ καὶ Ἀντινόην τὸν ante Galem 22. Ἄκαστος Aegius: Ἄδραστος

32. καταφλέγεται Faber: καταφλέγει 35 1. τοὺς δὲ H. τούς τε 10. ἐξ Faber: δὲ 36 6. Ἔκβασον Sevinus: ἄκασον, ἔκασσον 11. Ἀρκαδίαν Aegius: καρδίαν 14. ὅτι et 23. δὲ addidit Faber 24. αὐτῇ Faber, αὐτὸς H

28. Φερεκύδης — Ἀσκληπιάδης: Ἀσληπιάδης — Φερεκύδης H 37 7. ἡ addidit H 38 7. post κατεσκεύασε Aegius τὴν κληθεῖσαν ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ πεντηκόντορον 13. Ἥρας H: Ἀθηνᾶς

39 8. ἐκ addidit H 9. Γοργόνος H 42 8 et 62 16. δράκοντα?* 18. μαχέσασθαι Gales: μαχεσθῆναι 20. γενναιότητι Hercherus: τε νεότητι 45 9. τὰ βασίλεια*: τὸν βασιλέα 46 31. βασιλεύσειν H: βασιλεύειν 50 28. τὴν addidi 51 5. Εὐρύτου Aegius: αὐτοῦ 7. δὲ ante Ἡφαίστου addidi 8. πέπλον] παλτὸν Faber 15. πρὸ τοῦ*: πρῶτον 52 7. ἀπεῖπε τὸ*: ἀπείπατο 54 6. ἐς τὸ γόνυ τὸ*: τὸ γόνας τοῦ 55 2. μαρτυρόμενος?*

9. δὲ add Scaliger 10. ἀπαλλάσσετται idem: ἀλλάσσεται 11. ἀντιδοὺς — Προμηθέα Hemsterhusius: ἀντιδόντος — Προμηθέως 15. ἧκε*: ἧκε κἀκεῖ κατῴκει

20. δέκα Hercherus: δώδεκα 25. ὠρυγὴν*: ἁρπαγὴν

57 12. ἀποβάντων H: ἀπὸ πάντων 20. ὑπ' αὐτοῦ, τοῦ Βεβρύκων βασιλέως εἰσβαλόντος εἰς τὴν γῆν, βοηθῶν H 59 23. δὲ add H 23. Ἰβηρίαν Palmerius: Ἀβδηρίαν Λιγυστίνην Vossius: Λιβύην 27. καὶ τὴν — 29. ἐκάλεσαν] haec loco non suo sita eiicit H, post 26. ταῦρος ponit Claviger 60 12. ἔδωκεν H: δέδωκε 14. ἑνὶ] ἐν plerique 19. ἃ γαμηθείσῃ Διὶ Ἥρᾳ Γῆ ἐδωρήσατο H 23. Ἑσπερία Gales: ἑστία 61 7. διεξῄει Faber: ἐξῄει 31. ἔλυσε*: διέλυσε 63 6. μέσος Faber: μέσον κατεαγεὶς?* 13. ἔπνιγεν?* 64 7. δὲ add H

11. κατασκευάζειν H: κατασκευάζει 65 32. νύκτα]
νῆσον Aegius 66 7. τῶν H: τῶν ἀστῶν 24. ἓξ H:
ἑξῆς 25. τὴν H: τῆς 67 8. στρατιὰν H 13. χαλκῆ
H: χαλκοῦν 14. Ἀερόπη Pausanias 68 28. μισθοῦ
H: μισθὸν δὲ 69 23. Ὀρμένιον Wesselingius: Ὀρ-
χομενὸν 70 2. ἀκρωτηρίῳ H: ἐπ' ἀκρωτηρίῳ 4. κή-
ρυκα H: Κήυκα 11. κατηκόντισεν H: κατηκόντισεν
ἀπὸ τῆς Βοιωτίας 30. Κέρκης Müllerus 71 1. Λαο-
μένης H: λανομένης Ἐντελίδης Μενιππίδος Keilius:
Ἐντεδίδης Μενιππίδης 3. Εὐρυ . . . Καπύλος*: Εὐρυ-
κάπυλος Ἱππόθοος Faber, Ἱππότης H Ὄλυνθος Gales
4. Ἴξαλος?* 6. Ἴφιδος H: Ἶφις Ἄντιφος H: Ἄντιδος
Ἀντιόπης H: Ἀντιώπης 9. Ἐρατοῦς Aegius: ἔρατος
Ἀσωπίδος H: Ἀσωπίδης Ἠιόνης H 11. Οἰστρόβλης:
Οἰστρέβλης 12. Ἐλαχείας H: ἐλευχείας 72 7. ἐνιαυ-
τὸν — γενομένοις φθορὰ H: ἐνιαυτοῦ — γενομένης
φθορᾶς 14. θεράποντα Faber: θεραπεύοντα αὐτοὺς
H: αὐτὸν 27. Κλεοδαίου H: κλεολάου 73 22. καὶ
post Ἦλιν, δὲ post ἐνιαυτοῦ om H 32. ἕκαστον H:
ἕκαστος 74 8. Ἄργος H: Ἄργος ἐπὶ τὸν ἴδιον 17. Τι-
τᾶνας] τινὰς Faber, Τιτανίους H 22. αὐτὸς Faber
75 2. Φοινίκην H: τὴν Εὐρώπην 4. ἐρασθείς, ταῦ-
ρος H: ἐρασθεὶς πίπτει διὰ τῆς θαλάσσης Ρόδου ἀπο-
πλέων ταῦρος ὃς 17. κατῴκησαν*: κατῴκισαν ἐν
Φοινίκῃ*: Φοινίκην χώραν κειμένην?* 21. πόλιν]
νῆσον Hercherus 76 15. ὅ τι Müllerus: εἴ τι 20. ἐπ-
ῆρξεν*: ὑπῆρξεν 26. βαλὼν] λαβὼν Aegius 77 20. νεο-
δάρτους H: νεοδάρτας 21. κρήνης*: Κρήτης
31. Κρησὶ*: ἥρωσι 78 3. κἀκείνων*: κἀκεῖνον
79 23. Ἄρεος ἴδιον*: ἀίδιον 25. βασίλεια Sevinus
26. δὲ add H 80 3. κρύφα H: Ἥρας κρύφα 14. κε-
ραυνωθῆναι H 81 26. Βαιὸς πόδας αἰνετός?*
28. Ἀκταίων ἔθανεν Aegius: ἀκταῖον κτεῖναι vel κτεῖνε
30. Ὠμαργός*: ὢν Ἀργός 31. ἔλαψαν Ruhnkenius:
ἔδαψαν 82 1. πλῆθος H: πλῆθος αὐτῷ 2. ἐνεποίησε

H: ἐποίησε 83 10. μετὰ] κατὰ Siebelis 14. Δωτίδος]
Χρύσης Aegius 27 Ἐλευθεραῖς Aegius: ἐλευθέρῳ
84 1. τὴν τῶν*: τῶν 9. ἁρματοδρομεῖν*: ἁρματοδραμεῖν
17. δύο] δ' Valckenarius 85 13. παρὰ H: περὶ
18. ἐλέγετο H: ἔλεγε 31. αἴνιγμα H: αἰνίγματα
86 4. λύσωσι, συνιόντες — ἐζήτουν H 6. ἐπὰν] ἐπεὶ H
7. πολλῶν Gales: πολλάκις 19. Εὐρυγανείας τῆς
Ὑπέρφαντος Aegius: εὐρυγενείας τῆς τεύθραντος
87 24. ταύτῃ H: ταύτης αὐτῷ μάχης*: αὐτῆς
29. ἄνδρα Commelinus: Ἄδραστον 88 1. συναθροίσας]
στρατὸν συναθροίσας H 5. δὲ addidi 12. νήπιον
Commelinus: ἥτις νήπιον 24. ἅλματι Valckenarius:
ἅρματι 89 24. κράνειον Aegius: κυάνεον 31. ἀν-
έκριναν H: ἀνέκρινον δέκα — τὴν μὲν μίαν — τὰς
δὲ ἐννέα Barthius: δεκαεννέα — τὰς μὲν ἐννέα — τὰς
δὲ δέκα 90 31. τὰς δὲ δέκ'] ἐννέα δ' H 3. μαντευ-
ομένοις H: μαντευόμενος 9. τροπὴ H: τρόπαιον
25. ἐξερρόφησεν*: ἐξερρόφησεν αὐτόν 91 10. αὐτὴ
— ζῶσα ἐνεκρύφθη H: αὐτὴν — ζῶσαν ἐνεκρύψατο
17. ἐμβαλοῦσα H: βαλοῦσα 92 18. Θηβῶν H: Θη-
βαίων 21. μὲν H: μὲν μᾶλλον 30. παλινδικίαν λαμ-
βάνειν*: πάλιν διαλαμβάνειν 93 8. ἑαυτῷ H: ἑαυτοῦ
94 22. Ὅρον] Ὀρεστέα Salmasius, Οἰνωτρὸν H 23.
Ἀγκύορα] Ἀγήνορα? an Ἀρκυωρὸν?* 95 17. παρ-
θένος H: παρθένον 96 2. Αὔγη μὲν*: αὐτὴ μὲν
9. ἔγημε*: ἔφθειρε 31. προϊεῖσα H 97 1. αὐτοῦ
Hercherus: αὐτῷ 2. ἀπολομένων*: ἀπολλυμένων
6. μεσημβριοῦντας*: μὴ θηρεύοντας 18. δὲ post Σί-
συφος addidi 28. σπαργάνοις H: πρώτοις 99 14. ὃς]
ὃν H, καὶ Emperius 22. τῷ — πρὸς*: τὸ — ῥυὲν πρὸς
25. ὡς H: ὡς δὲ 26. ἐν Ἐριφύλῃ S. Empiricus: Ἐρι-
φύλην 29. Μελησαγόρας H: Μνησαγόρας 100 10.
Δορκεὺς Pausanias: Δορυκλεὺς 22. δὲ addidit H
32. δάσεσιν?* 101 6. ἐπιστρατεύσαντες H: εἰς
Ἀθήνας ἐπιστρατεύσαντες 102 2. δὲ addidi 103 21.

τῆς Emperius: *τοῦ* 104 3. *διῃρμένον* H: *διῃρτημένον* 14. *μετὰ**: *κατὰ* 15. *τὸν Δία ῥίψαι* Gales: *διαρρίψαι* 16. *τοῦτο* H 21. *Λευκίππην* Meziriacus: *Λευκίππου* 105 25. *αὐτὸ**: *αὐτοῦ* 106 3. *Δηιοπίτης* H: *Δηιόπτης* 107 3. *Ἀκταίου*] *Ἄκτορος* Gales 5. *φώκην* H: *φύκην* 108 18. *ἃ* addidit Emperius 109 30. *μεληδὸν* Coraes: *μέλη* 110 4. . . .] *εἰς Σκῦρον παρὰ Λυκομήδει* H 17. *παῖδα*: *παίζων παῖδα* 111 9. *παῖδα* H: *παῖδας* 20. *Φαρνάκην* Munkerus: *θανάκην τὴν Μεγεσσάρου τοῦ Ὑριέων βασιλέως ἐγέννησε Κινύραν. οὗτος* Hercherus: *τὴν Μεγεσσάρου, Κινύραν τὸν Συρίων βασιλέα ἐγέννησε. Κινύρας οὗτος* 112 18. *Μύνητος**: *Μήνυτος* 114 13. *καὶ* addidit H *παρατίθησι* Faber: *προτίθησι* 14. *διὰ ταχέων* Westermannus: *διαταχέως* 21. *τὴν μὲν**: *τὴν* 24. *παῖδας μὲν* Hercherus: *παῖδας* 115 2. *ἀφίει* H: *ἐφίει* 12. *παίζουσαν* nescio quis 22. *κολάζουσιν*?* 28. *Ἔνδιος*: *ἔνδον* 116 14. *τὴν σφαγὴν**: *σφαγὴν* 18. *Κέκροπα* H: *Κέκροπος* 21. *Πυλίαν* Faber: *Πελίαν* 117 4. *ποδάονα* φ. Aegius 17. *Αἰγεὺς* Piersonus: *ὁ Ζεὺς* 19. *Ἀθήνας* Meursius: *Θήβας* 20. *ἀγγελθέντος* Wyttenbachius: *ἐπελθόντος* 21. *αὐτῷ τοῦ* H: *αὐτοῦ* 30. . . .] *λόγιον ἦν ὅτι*?* 32. *Μίνως δὲ* Faber: *μόνον* 118 7. post *Αἰγληίδα* Gales omisit *Ἡνθηνίδα* *Λουσίαν* Meursius: *Λουταίαν* 10. *τούτου**: *τοῦτο* 12. *αἱρῆται**: *αἱρεῖται* 19. *ὧν*, omisso 20. *οὗτος*, ?* 27. *συνήργησε* Commelinus: *συνήρπασε*.

ΑΠΟΛΛΟΔΩΡΟΥ

ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΒΙΒΛΙΟΘΗΚΗ

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου,
γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς ἑκατόγχειρας
προσαγορευθέντας, Βριάρεων Γύην Κόττον, οἳ μεγέθει
τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν
ἀνὰ ἑκατὸν κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. μετὰ 2
τούτους δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας, Ἄργην Στερό-
πην Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ
μετώπου. ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρ-
ταρον ἔρριψε (τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅδου,
τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα ὅσον ἀπ' οὐρανοῦ
γῆ), τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας 3
προσαγορευθέντας, Ὠκεανὸν Κοῖον Ὑπερίονα Κριὸν
Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ
τὰς κληθείσας Τιτανίδας, Τηθὺν Ῥέαν Θέμιν Μνημο-
σύνην Φοίβην Διώνην Θεῖαν.

ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρ- 4
ταρον ῥιφθέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι
τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. οἱ
δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται, καὶ Κρόνος ἀποτέμνων
τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφίησιν. ἐκ δὲ
τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος ἐρινύες ἐγένοντο,
Ἀληκτὼ Τισιφόνη Μέγαιρα. τῆς δὲ ἀρχῆς ἐκβαλόντες
τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ
τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν.

ὃ δὲ τούτους μὲν ἐν τῷ Ταρτάρῳ πάλιν δήσας 5
καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε
καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς
ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώ-
μενα. καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν,

εἶτα Δήμητραν καὶ Ἥραν, μεθ' ἃς Πλούτωνα καὶ Πο-
6 σειδῶνα. ὀργισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα παραγίνεται
μὲν εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε,
γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία, καὶ τοῦτον δίδωσι
τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ νύμ-
7 φαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. αὗται μὲν οὖν τὸν παῖδα
ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες
ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι
τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς
ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα ἔδωκε
Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.
2 ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη τέλειος, λαμβάνει Μῆτιν
τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρ-
μακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ
τὸν λίθον, ἔπειτα τοὺς παῖδας οὓς κατέπιε· μεθ' ὧν
Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον.
2 μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ
ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμ-
μάχους· ὃ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην
3 ἀποκτείνας ἔλυσε. καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι
βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυ-
4 νέην, Ποσειδῶνι δὲ τρίαιναν· οἳ δὲ τούτοις ὁπλισθέν-
τες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ
Ταρτάρῳ τοὺς ἑκατόγχειρας καθιστᾶσι φύλακας. αὐτοὶ
δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς
μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν
θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅδου.
2 ἐγένοντο δὲ Τιτάνων ἔκγονοι Ὠκεανοῦ μὲν καὶ Τη-
θύος Ὠκεανίδες [τρισχίλιαι], Ἀσία Στὺξ Ἠλέκτρα Δω-
ρὶς Εὐρυνόμη Ἀμφιτρίτη Μῆτις, Κοίου δὲ καὶ Φοίβης
Ἀστερία καὶ Λητώ, Ὑπερίονος δὲ καὶ Θείας Ἠὼς Ἥλιος
Σελήνη, Κριοῦ δὲ καὶ Εὐρυβίας τῆς Πόντου Ἀστραῖος

Πάλλας Πέρσης, Ἰαπετοῦ δὲ καὶ Ἀσίας τῆς Ὠκεανοῦ 3
Ἄτλας, ὃς ἔχει τοῖς ὤμοις τὸν οὐρανόν, καὶ Προμηθεὺς
καὶ Ἐπιμηθεὺς καὶ Μενοίτιος, ὃν κεραυνώσας ἐν τῇ
τιτανομαχίᾳ Ζεὺς κατεταρτάρωσεν. ἐγένετο δὲ καὶ Κρό- 4
νου καὶ Φιλύρας Χείρων διφυὴς Κένταυρος, Ἠοῦς δὲ
καὶ Ἀστραίου ἄνεμοι καὶ ἄστρα, Πέρσου δὲ καὶ Ἀστε-
ρίας Ἑκάτη, Πάλλαντος δὲ καὶ Στυγὸς τῆς Ὠκεανοῦ
Νίκη Κράτος Ζῆλος Βία. τὸ δὲ τῆς Στυγὸς ὕδωρ ἐκ 5
πέτρας ἐν Ἅδου ῥέον Ζεὺς ἐποίησεν ὅρκον, ταύτην
αὐτῇ τιμὴν διδοὺς ἀνθ' ὧν αὐτῷ κατὰ Τιτάνων μετὰ
τῶν παίδων συνεμάχησε.
Πόντου δὲ καὶ Γῆς Φόρκος Θαύμας Νηρεὺς Εὐρυ- 6
βία Κητώ. Θαύμαντος μὲν οὖν καὶ Ἠλέκτρας τῆς Ὠκεα-
νοῦ Ἶρις καὶ ἅρπυιαι, Ἀελλὼ καὶ Ὠκυπέτη, Φόρκου δὲ
καὶ Κητοῦς Φορκίδες <καὶ> Γοργόνες, περὶ ὧν ἐροῦμεν
ὅταν τὰ κατὰ Περσέα λέξωμεν, Νηρέως δὲ καὶ Δωρίδος 7
τῆς Ὠκεανοῦ Νηρηίδες, ὧν τὰ ὀνόματα Κυμοθόη Σπειὼ
Γλαυκονόμη Ναυσιθόη Ἁλίη, Ἐρατὼ Σαὼ Ἀμφιτρίτη
Εὐνίκη Θέτις, Εὐλιμένη Ἀγαυὴ Εὐδώρη Δωτὼ Φέ-
ρουσα, Γαλάτεια Ἀκταίη Ποντομέδουσα Ἱπποθόη Λυ-
σιάνασσα, Κυμὼ Ἠιόνη Ἁλιμήδη Πληξαύρη Εὐκράτη,
Πρωτὼ Καλυψὼ Πανόπη Κραντὼ Νεόμηρις, Ἱππονόη
Δηιάνειρα Πολυνόη Αὐτονόη Μελίτη, Διώνη Νησαίη
Δηρὼ Εὐαγόρη Ψαμάθη, Εὐμόλπη Ἰόνη Δυναμένη
Κητὼ Λιμνώρεια.
Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν, καὶ τεκνοῖ Ἥβην Εἰλεί- 3
θυιαν Ἄρην, μίγνυται δὲ πολλαῖς θνηταῖς τε καὶ ἀθα-
νάτοις γυναιξίν. ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ
θυγατέρας ὥρας, Εἰρήνην Εὐνομίαν Δίκην, μοίρας,
Κλωθὼ Λάχεσιν Ἄτροπον, ἐκ Διώνης δὲ Ἀφροδίτην,
ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ χάριτας, Ἀγλαΐην Εὐ- 2
φροσύνην Θάλειαν, ἐκ δὲ Στυγὸς Περσεφόνην, ἐκ δὲ

Μνημοσύνης μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα
Κλειὼ Μελπομένην Εὐτέρπην Ἐρατὼ Τερψιχόρην Οὐ-
ρανίαν Θάλειαν Πολυμνίαν.

2 Καλλιόπης μὲν οὖν καὶ Οἰάγρου, κατ᾽ ἐπίκλησιν δὲ
Ἀπόλλωνος, Λίνος, ὃν Ἡρακλῆς ἀπέκτεινε, καὶ Ὀρφεὺς
ὁ ἀσκήσας κιθαρῳδίαν, ὃς ᾄδων ἐκίνει λίθους τε καὶ
2 δένδρα. ἀποθανούσης δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐ-
τοῦ, δηχθείσης ὑπὸ ὄφεως, κατῆλθεν εἰς Ἅιδου θέλων
ἀναγαγεῖν αὐτήν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. ὁ
δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς
ἐπιστραφῇ πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι·
ὁ δὲ ἀπιστῶν ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα, ἡ δὲ
3 πάλιν ὑπέστρεψεν. εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου
μυστήρια, καὶ τέθαπται περὶ τὴν Πιερίαν διασπασθεὶς ὑπὸ
3 τῶν μαινάδων. Κλειὼ δὲ Πιέρου τοῦ Μάγνητος ἠράσθη
κατὰ μῆνιν Ἀφροδίτης (ὠνείδισε γὰρ αὐτῇ τὸν τοῦ
Ἀδώνιδος ἔρωτα), συνελθοῦσα δὲ ἐγέννησεν ἐξ αὐτοῦ
παῖδα Ὑάκινθον, οὗ Θάμυρις ὁ Φιλάμμωνος καὶ Ἀρ-
γιόπης νύμφης ἔσχεν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν
2 ἀρρένων. ἀλλ᾽ Ὑάκινθον μὲν ὕστερον Ἀπόλλων ἐρώ-
μενον ὄντα δίσκῳ βαλὼν ἄκων ἀπέκτεινε, Θάμυρις δὲ
κάλλει διενεγκὼν καὶ κιθαρῳδίᾳ περὶ μουσικῆς ἤρισε
μούσαις, συνθέμενος, ἂν μὲν κρείττων εὑρεθῇ, πλη-
σιάσειν πάσαις, ἐὰν δὲ ἡττηθῇ, στερηθήσεσθαι οὗ ἂν
ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ μοῦσαι γενόμεναι
καὶ τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας ἐστέρησαν.
4 Εὐτέρπης δὲ καὶ ποταμοῦ Στρυμόνος Ῥῆσος, ὃν ἐν
Τροίᾳ Διομήδης ἀπέκτεινεν· ὡς δὲ ἔνιοι λέγουσιν ὅτι
Καλλιόπης ὑπῆρχεν. Θαλείας δὲ καὶ Ἀπόλλωνος ἐγέ-
νοντο Κορύβαντες, Μελπομένης δὲ καὶ Ἀχελῴου Σει-
ρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν.
5 Ἥρα δὲ χωρὶς εὐνῆς ἐγέννησεν Ἥφαιστον· ὡς δὲ

Ὅμηρος λέγει, καὶ τοῦτον ἐκ Διὸς ἐγέννησε. ῥίπτει δὲ
αὐτὸν ἐξ οὐρανοῦ Ζεὺς Ἥρᾳ δεθείσῃ βοηθοῦντα· ταύ-
την γὰρ ἐξεκρέμασε Ζεὺς ἐξ Ὀλύμπου χειμῶνα ἐπιπέμ-
ψασαν Ἡρακλεῖ, ὅτε Τροίαν ἑλὼν ἔπλει. πεσόντα δὲ
Ἥφαιστον ἐν Λήμνῳ καὶ πηρωθέντα τὰς βάσεις διέσωσε
Θέτις.

μίγνυται δὲ Ζεὺς Μήτιδι, μεταβαλλούσῃ εἰς πολ- 6
λὰς ἰδέας ὑπὲρ τοῦ μὴ συνελθεῖν, καὶ αὐτὴν γενομένην
ἔγκυον καταπίνει φθάσας, ἐπείπερ ἔλεγε γεννήσειν παῖ-
δα μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γενέσθαι κόρην, ὃς
οὐρανοῦ δυνάστης γενήσεται. τοῦτο φοβηθεὶς κατέπιεν
αὐτήν. ὡς δὲ ὁ τῆς γενέσεως ἐνέστη χρόνος, πλήξαντος
αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως ἢ καθάπερ ἄλ-
λοι λέγουσιν Ἡφαίστου, ἐκ κορυφῆς, ἐπὶ ποταμοῦ Τρί-
τωνος, Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορεν.

τῶν δὲ Κοίου θυγατέρων Ἀστερία μὲν ὁμοιωθεῖσα 4
ὄρτυγι ἑαυτὴν εἰς θάλασσαν ἔρριψε, φεύγουσα τὴν πρὸς
Δία συνουσίαν· καὶ πόλις ἀπ᾽ ἐκείνης Ἀστερία πρῶ-
τον κληθεῖσα, ὕστερον δὲ Δῆλος. Λητὼ δὲ συνελθοῦσα 2
Διὶ κατὰ τὴν γῆν ἅπασαν ὑφ᾽ Ἥρας ἠλαύνετο, μέχρις
εἰς Δῆλον ἐλθοῦσα γεννᾷ πρώτην Ἄρτεμιν, ὑφ᾽ ἧς
μαιωθεῖσα ὕστερον Ἀπόλλωνα ἐγέννησεν.

Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα παρθέ- 3
νος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ
τοῦ Πανὸς τοῦ Διὸς καὶ Θύμβρεως ἧκεν εἰς Δελφούς,
χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ φρουρῶν τὸ
μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ
χάσμα, τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει. κτεί- 4
νει δὲ μετ᾽ οὐ πολὺ καὶ Τιτυόν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς
Ὀρχομενοῦ θυγατρὸς Ἐλάρης, ἣν Ζεύς, ἐπειδὴ συν-
ῆλθε, δείσας Ἥραν ὑπὸ γῆν ἔκρυψε, καὶ τὸν κυοφορη-
θέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν.

5 οὗτος ἐρχόμενος εἰς Πυθὼ Λητὼ θεωρήσας, πόθῳ κατα-
σχεθεὶς ἐπισπᾶται· ἡ δὲ τοὺς παῖδας ἐπικαλεῖται, καὶ
κατατοξεύουσιν αὐτόν. κολάζεται δὲ καὶ μετὰ θάνατον·
γῦπες γὰρ αὐτοῦ τὴν καρδίαν ἐν Ἅδου ἐσθίουσιν.

2 ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα
Μαρσύαν. οὗτος γὰρ εὑρὼν αὐλοὺς οὓς ἔρριψεν Ἀθηνᾶ
διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν
2 περὶ μουσικῆς Ἀπόλλωνι. συνθεμένων δὲ αὐτῶν ἵνα
ὁ νικήσας ὃ βούλεται διαθῇ τὸν ἡττημένον, τῆς κρίσεως
γινομένης τὴν κιθάραν στρέψας ἠγωνίζετο ὁ Ἀπόλλων,
καὶ ταὐτὸ ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν· τοῦ δὲ ἀδυ-
νατοῦντος εὑρεθεὶς κρείσσων ὁ Ἀπόλλων, κρεμάσας
τὸν Μαρσύαν ἔκ τινος ὑπερτενοῦς πίτυος, ἐκταμὼν τὸ
δέρμα οὕτως διέφθειρεν.

3 Ὠρίωνα δὲ Ἄρτεμις ἀπέκτεινεν ἐν Δήλῳ. τοῦτον
γηγενῆ λέγουσιν ὑπερμεγέθη τὸ σῶμα· Φερεκύδης δὲ
αὐτὸν Ποσειδῶνος καὶ Εὐρυάλης λέγει. ἐδωρήσατο δὲ
2 αὐτῷ Ποσειδῶν διαβαίνειν τὴν θάλασσαν. οὗτος ἔγημε
μὲν Σίδην, ἣν ἔρριψεν εἰς Ἅδου περὶ μορφῆς ἐρίσασαν
Ἥρα· αὖθις δὲ ἐλθὼν εἰς Χίον Μερόπην τὴν Οἰνοπίω-
νος ἐμνηστεύσατο. μεθύσας δὲ Οἰνοπίων αὐτὸν κοιμώ-
3 μενον ἐτύφλωσε καὶ παρὰ τοῖς αἰγιαλοῖς ἔρριψεν. ὃ δὲ
ἐπὶ τὸ χαλκεῖον ἐλθὼν καὶ ἁρπάσας παῖδα ἕνα, ἐπὶ τῶν
ὤμων ἐπιθέμενος ἐκέλευσε ποδηγεῖν πρὸς τὰς ἀνατολάς.
ἐκεῖ δὲ παραγενόμενος ἀνέβλεψεν ἐκκαεὶς ὑπὸ τῆς ἡλια-
κῆς ἀκτῖνος, καὶ διὰ ταχέων ἐπὶ τὸν Οἰνοπίωνα ἔσπευ-
4 δεν. ἀλλὰ τῷ μὲν Ποσειδῶν ἡφαιστότευκτον ὑπὸ γῆν
κατεσκεύασεν οἶκον, Ὠρίωνος δὲ Ἠὼς ἐρασθεῖσα ἥρ-
πασε καὶ ἐκόμισεν εἰς Δῆλον· ἐποίει γὰρ αὐτὴν Ἀφρο-
5 δίτη συνεχῶς ἐρᾶν, ὅτι Ἄρει συνευνάσθη. ὁ δὲ Ὠρίων,
ὡς μὲν ἔνιοι λέγουσιν, ἀνῃρέθη δισκεύειν Ἄρτεμιν προ-
καλούμενος, ὡς δέ τινες, βιαζόμενος Ὦπιν μίαν τῶν ἐξ

Ὑπερβορέων παραγενομένων παρθένων ὑπ' Ἀρτέμιδος
ἐτοξεύθη.

Ποσειδῶν δὲ Ἀμφιτρίτην τὴν Ὠκεανοῦ γαμεῖ, καὶ 6
αὐτῷ γίνεται Τρίτων καὶ Ῥόδη, ἣν Ἥλιος ἔγημε.

Πλούτων δὲ Περσεφόνης ἐρασθείς, Διὸς συνερ- 5
γοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δήμητρα δὲ μετὰ λαμ-
πάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζη-
τοῦσα περιῄει· μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλού-
των αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρα-
νόν, εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα. καὶ 2
πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον
ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον,
ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε 3
Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν, καὶ λεγουσῶν
τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖά τις Ἰάμβη σκώ-
ψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι. διὰ τοῦτο ἐν τοῖς
θεσμοφορίοις τὰς γυναῖκας σκώπτειν λέγουσιν.

ὄντος δὲ τῇ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου, 4
τοῦτο ἔτρεφεν ἡ Δημήτηρ παραλαβοῦσα· βουλομένη δὲ
αὐτὸ ἀθάνατον ποιῆσαι, τὰς νύκτας εἰς πῦρ κατετίθει
τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ. καθ'
ἡμέραν δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος
(τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί) ἐπετήρησεν ἡ Πραξιθέα,
καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε· διό-
περ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ
αὐτὴν ἐξέφηνε. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν 2
Ματανείρας παίδων δίφρον κατασκευάσασα πτηνῶν
δρακόντων καὶ πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην
δι' οὐρανοῦ αἰρόμενος κατέσπειρε. Πανύασις δὲ Τρι-
πτόλεμον Ἐλευσῖνος λέγει· φησὶ γὰρ Δήμητραν πρὸς
αὐτὸν ἐλθεῖν. Φερεκύδης δέ φησιν αὐτὸν υἱὸν Οὐρα-
νοῦ καὶ Γῆς.

3 Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύ-
σαντος, ὁ Πλούτων, ἵνα μὴ πολὺν χρόνον παρὰ τῇ μη-
τρὶ καταμείνῃ, ῥοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον. ἡ δὲ
οὐ προϊδομένη τὸ συμβησόμενον κατηνάλωσεν αὐτόν.
καταμαρτυρήσαντος δὲ αὐτῆς Ἀσκαλάφου τοῦ Ἀχέρον-
τος καὶ Γοργύρας, τούτῳ μὲν Δημήτηρ ἐν Ἅιδου βαρεῖαν
ἐπέθηκε πέτραν, Περσεφόνη δὲ καθ' ἕκαστον ἐνιαυτὸν
τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἠναγκάσθη μένειν, τὸ δὲ
λοιπὸν παρὰ τοῖς θεοῖς.
6 περὶ μὲν οὖν Δήμητρος ταῦτα λέγεται· Γῆ δὲ περὶ
Τιτάνων ἀγανακτοῦσα γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ,
μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ
ἀκαταγωνίστους, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαί-
νοντο, καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γε-
2 νείων, εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων. ἐγέ-
νοντο δέ, ὡς μέν τινες λέγουσιν, ἐν Φλέγραις, ὡς δὲ
ἄλλοι, ἐν Παλλήνῃ. ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας
3 καὶ δρῦς ἡμμένας. διέφερε δὲ πάντων Πορφυρίων τε
καὶ Ἀλκυονεύς, ὃς δὴ καὶ ἀθάνατος ἦν ἐν ᾗπερ ἐγεν-
νήθη γῇ μαχόμενος. οὗτος δὲ καὶ τὰς Ἡλίου βόας ἐξ
4 Ἐρυθείας ἤλασε. τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν
μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦν-
5 τος δὲ θνητοῦ τινὸς τελευτήσειν. αἰσθομένη δὲ Γῆ
τοῦτο ἐζήτει φάρμακον, ἵνα μηδ' ὑπὸ θνητοῦ δυνηθῶ-
σιν ἀπολέσθαι. Ζεὺς δὲ ἀπειπὼν φαίνειν Ἠοῖ τε καὶ
Σελήνῃ καὶ Ἡλίῳ τὸ μὲν φάρμακον αὐτὸς ἔταμε φθά-
6 σας, Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπεκαλέσατο.
κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα· ὁ δὲ ἐπὶ τῆς
γῆς μᾶλλον ἀνεθάλπετο· Ἀθηνᾶς δὲ ὑποθεμένης ἔξω
τῆς Παλλήνης εἵλκυσεν αὐτόν. κἀκεῖνος μὲν οὕτως ἐτε-
2 λεύτα, Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ μάχην ἐφώρμησε
καὶ Ἥρᾳ. Ζεὺς δὲ αὐτῷ πόθον Ἥρας ἐνέβαλεν, ἥτις

καὶ καταρρηγνύντος αὐτοῦ τοὺς πέπλους καὶ βιάζεσθαι
θέλοντος βοηθοὺς ἐπεκαλεῖτο· καὶ Διὸς κεραυνώσαν-
τος αὐτὸν Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. τῶν δὲ λοιπῶν 2
Ἀπόλλων μὲν Ἐφιάλτου τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλ-
μόν, Ἡρακλῆς δὲ τὸν δεξιόν· Εὔρυτον δὲ θυρσῷ Διό-
νυσος ἔκτεινε, Κλυτίον δέ, φασίν, Ἑκάτη, μᾶλλον δὲ
Ἥφαιστος βαλὼν μύδροις. Ἀθηνᾶ δὲ Ἐγκελάδῳ φεύ- 3
γοντι Σικελίαν ἐπέρριψε τὴν νῆσον, Πάλλαντος δὲ τὴν
δορὰν ἐκτεμοῦσα ταύτῃ κατὰ τὴν μάχην τὸ ἴδιον ἐπέ-
σκεπε σῶμα. Πολυβώτης δὲ διὰ τῆς θαλάσσης διωχθεὶς 4
ὑπὸ τοῦ Ποσειδῶνος ἧκεν εἰς Κῶ· Ποσειδῶν δὲ τῆς
νήσου μέρος ἀπορρήξας ἐπέρριψεν αὐτῷ, τὸ λεγόμενον
Νίσυρον. Ἑρμῆς δὲ τὴν Ἄιδος κυνέην ἔχων κατὰ τὴν 5
μάχην Ἱππόλυτον ἀπέκτεινεν, Ἄρτεμις δὲ Γρατίωνα,
μοῖραι δὲ Ἄγριον καὶ Θόωνα χαλκέοις ῥοπάλοις μαχομέ-
νους. τοὺς δὲ ἄλλους κεραυνοῖς Ζεὺς βαλὼν διέφθειρε.
πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσεν.
ὡς δὲ ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων, Γῆ μᾶλλον 3
χολωθεῖσα μίγνυται Ταρτάρῳ, καὶ γεννᾷ Τυφῶνα ἐν
Κιλικίᾳ, μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου.
οὗτος [μὲν] καὶ μεγέθει καὶ δυνάμει πάντων διήνεγκεν 2
ὅσους ἐγέννησε Γῆ, ἦν δὲ αὐτῷ τὰ μὲν ἄχρι μηρῶν ἄπλε-
τον μέγεθος ἀνδρόμορφον, ὥστε ὑπερέχειν μὲν πάντων
τῶν ὀρῶν, ἡ δὲ κεφαλὴ πολλάκις τῶν ἄστρων ἔψαυε·
χεῖρας δὲ εἶχε τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην 3
τὴν δὲ ἐπὶ τὰς ἀνατολάς· ἐκ τούτων δὲ ἐξεῖχον ἑκατὸν
κεφαλαὶ δρακόντων. τὰ δὲ ἀπὸ μηρῶν σπείρας εἶχεν 4
ὑπερμεγέθεις ἐχιδνῶν, ὧν ὁλκοὶ πρὸς αὐτὴν ἐκτεινόμε-
νοι κορυφὴν συριγμὸν πολὺν ἐξίεσαν. πᾶν δὲ αὐτοῦ τὸ
σῶμα κατεπτέρωτο, αὐχμηραὶ δὲ ἐκ κεφαλῆς καὶ γε-
νείων τρίχες ἐξηνεμοῦντο, πῦρ δὲ ἐδέρκετο τοῖς ὄμμασι.
τοιοῦτος ὢν ὁ Τυφὼν καὶ τηλικοῦτος ἡμμένας βάλλων 5

πέτρας ἐπ᾽ αὐτὸν τὸν οὐρανὸν μετὰ συριγμῶν ὁμοῦ καὶ
βοῆς ἐφέρετο· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέ-
6 βρασσε ζάλη. θεοὶ δὲ ὡς εἶδον αὐτὸν ἐπ᾽ οὐρανὸν ὁρ-
μώμενον, εἰς Αἴγυπτον φυγάδες ἐφέροντο, καὶ διωκό-
7 μενοι τὰς ἰδέας μετέβαλον εἰς ζῷα. Ζεὺς δὲ πόρρω μὲν
ὄντα Τυφῶνα ἔβαλλε κεραυνοῖς, πλησίον δὲ γενόμενον
ἀδαμαντίνῃ κατέπτησσεν ἅρπῃ, καὶ φεύγοντα ἄχρι τοῦ
Κασίου ὄρους συνεδίωξε· τοῦτο δὲ ὑπέρκειται Συρίας·
κεῖθι δὲ αὐτὸν κατατετρωμένον ἰδὼν εἰς χεῖρας συνέ-
8 βαλε. Τυφὼν δὲ ταῖς σπείραις περιπλεχθεὶς κατέσχεν
αὐτόν, καὶ τὴν ἅρπην περιελόμενος τά τε τῶν χειρῶν
καὶ τῶν ποδῶν διέτεμε νεῦρα, ἀράμενος δὲ ἐπὶ τῶν
ὤμων διεκόμισεν αὐτὸν διὰ τῆς θαλάσσης εἰς Κιλικίαν
9 καὶ παρελθὼν εἰς τὸ Κωρύκιον ἄντρον κατέθετο. ὁμοίως
δὲ καὶ τὰ νεῦρα κρύψας ἄρκτου δορᾷ κεῖθι ἀπέθετο,
καὶ ⟨φύλακα⟩ κατέστησε Δελφύνην δράκαιναν· ἡμίθηρ
δὲ ἦν αὕτη ἡ κόρη. Ἑρμῆς δὲ καὶ Αἰγίπαν ἐκκλέψαν-
10 τες τὰ νεῦρα ἥρμοσαν τῷ Διὶ λαθόντες. Ζεὺς δὲ τὴν
ἰδίαν ἀνακομισάμενος ἰσχὺν ἐξαίφνης ἐξ οὐρανοῦ, ἐπὶ
πτηνῶν ὀχούμενος ἵππων ἅρματι, βάλλων κεραυνοῖς
ἐπ᾽ ὄρος ἐδίωξε Τυφῶνα τὸ λεγόμενον Νῦσαν, ὅπου
μοῖραι αὐτὸν διωχθέντα ἠπάτησαν· πεισθεὶς γὰρ ὅτι
ῥωσθήσεται μᾶλλον, ἐγεύσατο τῶν ἐφημέρων καρπῶν.
11 διόπερ ἐπιδιωκόμενος αὖθις ἧκεν εἰς Θρᾴκην, καὶ μα-
χόμενος περὶ τὸν Αἷμον ὅλα ἔβαλλεν ὄρη. τούτων δὲ
ἐπ᾽ αὐτὸν ὑπὸ τοῦ κεραυνοῦ πάλιν ὠθουμένων πολὺ
ἐπὶ τοῦ ὄρους ἐξέκλυσεν αἷμα· καί φασιν ἐκ τούτου τὸ
12 ὄρος κληθῆναι Αἷμον. φεύγειν δὲ ὁρμηθέντος αὐτοῦ
διὰ τῆς Σικελικῆς θαλάσσης, Ζεὺς ἐπέρριψεν Αἴτνην
ὄρος ἐν Σικελίᾳ· τοῦτο δὲ ὑπερμέγεθές ἐστιν, ἐξ οὗ
μέχρι δεῦρό φασιν ἀπὸ τῶν βληθέντων κεραυνῶν γίνε-
σθαι πυρὸς ἀναφυσήματα.

ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λε- 7
λέχθω· Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους
πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διός, ἐν νάρθηκι
κρύψας. ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ
Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ
Σκυθικὸν ὄρος ἐστίν. ἐν δὴ τούτῳ προσηλωθεὶς Προ- 2
μηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο· καθ᾽ ἑκάστην δὲ
ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο
τῶν ἡπάτων αὐξανομένων διὰ νυκτός.
καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε 3
ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν
τοῖς καθ᾽ Ἡρακλέα δηλώσομεν· Προμηθέως δὲ παῖς 2
Δευκαλίων ἐγένετο. οὗτος βασιλεύων τῶν περὶ τὴν
Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπιμηθέως καὶ Παν-
δώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. ἐπεὶ δὲ ἀφα- 2
νίσαι Ζεὺς τὸ χαλκοῦν ἤθελε γένος, ὑποθεμένου Προ-
μηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπι-
τήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς 3
δὲ πολὺν ὑετὸν ἀπ᾽ οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς
Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀν-
θρώπους, ὀλίγων χωρὶς οἳ συνεφοίτων εἰς τὰ πλησίον
ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη,
καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχέθη πάν-
τα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φε- 4
ρόμενος ἐφ᾽ ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρ-
νασσῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων
ἐκβὰς θύει Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς 5
αὐτὸν ἐπέτρεψεν αἱρεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται
ἀνθρώπους αὐτῷ γενέσθαι. καὶ Διὸς εἰπόντος ὑπὲρ κε-
φαλῆς αἴρων ἔβαλε λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκα-
λίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες. ὅθεν καὶ
λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ λᾶας ὁ λίθος.

6 *γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην
μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγενῆσθαι λέγουσι, δεύτερος
δὲ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττι-
κῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος.*
3 *Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηίδος Δῶρος Ξοῦθος Αἴο-
λος. αὐτὸς μὲν οὖν ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραι-
κοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε*
2 *τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον
ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα,
ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται, Δῶρος δὲ τὴν
πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ'*
3 *ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος δὲ βασιλεύων τῶν
περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς
προσηγόρευσε, καὶ γήμας Ἐναρέτην τὴν Δηιμάχου παῖ-
δας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα Σίσυφον Ἀθάμαντα
Σαλμωνέα Δηιόνα Μάγνητα Περιήρην, θυγατέρας δὲ
πέντε, Κανάκην Ἀλκυόνην Πεισιδίκην Καλύκην Πε-
ριμήδην.*

4 *Περιμήδης μὲν οὖν καὶ Ἀχελῴου Ἱπποδάμας καὶ
Ὀρέστης, Πεισιδίκης δὲ καὶ Μυρμιδόνος Ἄντιφος καὶ*
4 *Ἄκτωρ. Ἀλκυόνην δὲ Κῆυξ ἔγημεν Ἑωσφόρου παῖς,
οὗτοι δὲ δι' ὑπερηφάνειαν ἀπώλοντο· ὃ μὲν γὰρ τὴν
γυναῖκα ἔλεγεν Ἥραν, ἣ δὲ τὸν ἄνδρα Δία, Ζεὺς δὲ
αὐτοὺς ἀπωρνέωσε, καὶ τὴν μὲν ἀλκυόνα ἐποίησε τὸν δὲ
κήυκα.*

2 *Κανάκη δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος Ὀπλέα καὶ
Νιρέα καὶ Ἐπωπέα καὶ Ἀλωέα καὶ Τρίοπα. Ἀλωεὺς
μὲν οὖν ἔγημεν Ἰφιμέδειαν τὴν Τρίοπος, ἥτις Ποσει-
δῶνος ἠράσθη, καὶ συνεχῶς φοιτῶσα ἐπὶ τὴν θάλασσαν,
χερσὶν ἀρυομένη τὰ κύματα τοῖς κόλποις ἐνεφόρει. συν-
ελθὼν δὲ αὐτῇ Ποσειδῶν δύο ἐγέννησε παῖδας, Ὦτον*
3 *καὶ Ἐφιάλτην, τοὺς Ἀλωάδας λεγομένους. οὗτοι κατ'*

*ἐνιαυτὸν ηὔξανον πλάτος μὲν πηχυαῖον μῆκος δὲ ὀρ-
γυιαῖον· ἐννέα δὲ ἐτῶν γενόμενοι, καὶ τὸ μὲν πλάτος
πηχῶν ἔχοντες ἐννέα τὸ δὲ μέγεθος ὀργυιῶν ἐννέα,
πρὸς θεοὺς μάχεσθαι διενοοῦντο, καὶ τὴν μὲν Ὄσσαν
ἐπὶ τὸν Ὄλυμπον ἔθεσαν, ἐπὶ δὲ τὴν Ὄσσαν θέντες τὸ
Πήλιον διὰ τῶν ὀρῶν τούτων ἠπείλουν εἰς οὐρανὸν
ἀναβήσεσθαι, καὶ τὴν μὲν θάλασσαν χώσαντες τοῖς ὄρεσι
ποιήσειν ἔλεγον ἤπειρον, τὴν δὲ γῆν θάλασσαν. ἐμνῶντο* 4
*δὲ Ἐφιάλτης μὲν Ἥραν Ὦτος δὲ Ἄρτεμιν. ἔδησαν δὲ
καὶ Ἄρην. τοῦτον μὲν οὖν Ἑρμῆς ἐξέκλεψεν, ἀνεῖλε δὲ
τοὺς Ἀλωάδας ἐν Νάξῳ Ἄρτεμις δι' ἀπάτης· ἀλλάξασα
γὰρ τὴν ἰδέαν εἰς ἔλαφον διὰ μέσου αὐτῶν ἐπήδησεν,
οἳ δὲ βουλόμενοι εὐστοχῆσαι τὸ θηρίον ἐφ' ἑαυτοὺς
ἠκόντισαν.*

Καλύκης δὲ καὶ Ἀεθλίου παῖς Ἐνδυμίων γίνεται, 5
*ὅστις ἐκ Θεσσαλίας Αἰολέας ἀγαγὼν Ἦλιν ᾤκισε. λέ-
γουσι δὲ αὐτόν τινες ἐκ Διὸς γενέσθαι. τούτου κάλλει
διενεγκόντος ἠράσθη Σελήνη, Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ
βούλεται ἑλέσθαι· ὃ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς
ἀθάνατος καὶ ἀγήρως μένων.*

Ἐνδυμίωνος δὲ καὶ νηίδος νύμφης ἢ ὥς τινες Ἰφια- 6
*νάσσης, Αἰτωλός, ὃς ἀποκτείνας Ἆπιν τὸν Φορωνέως
καὶ φυγὼν εἰς τὴν Κουρῆτιδα χώραν, κτείνας τοὺς ὑπο-
δεξαμένους Φθίας καὶ Ἀπόλλωνος υἱούς, Δῶρον καὶ
Λαοδόκον καὶ Πολυποίτην, ἀφ' ἑαυτοῦ τὴν χώραν Αἰ-
τωλίαν ἐκάλεσεν.*

Αἰτωλοῦ δὲ καὶ Προνόης τῆς Φόρβου Πλευρὼν καὶ 7
*Καλυδὼν ἐγένοντο, ἀφ' ὧν αἱ ἐν Αἰτωλίᾳ πόλεις ὠνο-
μάσθησαν. Πλευρὼν μὲν οὖν γήμας Ξανθίππην τὴν
Δώρου παῖδα μὲν ἐγέννησεν Ἀγήνορα, θυγατέρας δὲ
Στερόπην καὶ Στρατονίκην καὶ Λαοφόντην· Καλυδῶ-* 2
νος δὲ καὶ Αἰολίας τῆς Ἀμυθάονος Ἐπικάστη καὶ Πρω-

τογένεια, ἐξ ἧς καὶ Ἄρεος Ὄξυλος. Ἀγήνωρ δὲ ὁ Πλευ-
ρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε Πορ-
θάονα καὶ Δημονίκην, ἧς καὶ Ἄρεος Εὔηνος Μῶλος Πύ-
λος Θέστιος.

8 Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν Ἀπόλ-
λωνος μνηστευομένου Ἴδας ὁ Ἀφαρέως ἥρπασε, λαβὼν
παρὰ Ποσειδῶνος ἅρμα ὑπόπτερον. διώκων δὲ Εὔηνος
ἐφ' ἅρματος ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμόν, καταλα-
βεῖν δὲ οὐ δυνάμενος τοὺς μὲν ἵππους ἀπέσφαξεν, ἑαυ-
τὸν δὲ εἰς τὸν ποταμὸν ἔβαλε· καὶ καλεῖται Εὔηνος ὁ
9 ποταμὸς παρ' ἐκείνου. Ἴδας δὲ εἰς Μεσσήνην παραγί-
νεται, καὶ αὐτῷ ὁ Ἀπόλλων περιτυχὼν ἀφαιρεῖται τὴν
κόρην. μαχομένων δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς γά-
μων, Ζεὺς διαλύσας ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ ἑλέ-
σθαι ὁποτέρῳ βούλεται συνοικεῖν· ἡ δὲ δείσασα, ὡς ἂν
μὴ γηρῶσαν αὐτὴν Ἀπόλλων καταλίπῃ, τὸν Ἴδαν εἵ-
λετο ἄνδρα.

10 Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο
θυγατέρες μὲν Ἀλθαία Λήδα Ὑπερμνήστρα, ἄρρενες
δὲ Ἴφικλος Εὔιππος Πλήξιππος Εὐρύπυλος.

2 Πορθάονος δὲ καὶ Εὐρύτης τῆς Ἱπποδάμαντος ἐγέ-
νοντο παῖδες μὲν Οἰνεὺς Ἄγριος Ἀλκάθοος Μέλας Λευ-
κωπεύς, θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελῴου Σει-
ρῆνας γενέσθαι λέγουσιν.

8 Οἰνεὺς δὲ βασιλεύων Καλυδῶνος παρὰ Διονύσου
φυτὸν ἀμπέλου πρῶτος ἔλαβε. γήμας δὲ Ἀλθαίαν τὴν
Θεστίου γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν ὑπερπηδή-
σαντα τὴν τάφρον, καὶ παρὰ τοῦτον Θυρέα καὶ Κλύμε-
νον, καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημε, καὶ
Δηιάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεν-
νῆσαι. αὕτη δὲ ἡνιόχει καὶ τὰ κατὰ πόλεμον ἤσκει, καὶ
περὶ τῶν γάμων αὐτῆς Ἡρακλῆς πρὸς Ἀχελῷον ἐπά-

λαισεν. ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέα- 2
γρον, ὃν ἐξ Ἄρεος γεγενῆσθαι φασί. τούτου δὲ ὄντος
ἡμερῶν ἑπτὰ παραγενομένας τὰς μοίρας φασὶν εἰπεῖν
τότε τελευτήσειν Μελέαγρον, ὅταν ὁ καιόμενος ἐπὶ τῆς
ἐσχάρας δαλὸς κατακαῇ. τοῦτο ἀκούσασα τὸν δαλὸν
ἀνείλετο Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος 2
δὲ ἀνὴρ ἄτρωτος καὶ γενναῖος γενόμενος τόνδε τὸν τρό-
πον ἐτελεύτησεν. ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομέ-
νων τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέ-
μιδος ἐξελάθετο. μηνίσασα δὲ ἡ θεὸς κάπρον ἐφῆκεν
ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτί-
θει καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθει-
ρεν. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλ- 3
λάδος πάντας συνεκάλεσε, καὶ τῷ κτείναντι τὸν θῆρα
τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. οἱ δὲ συνελ-
θόντες ἐπὶ τὴν τοῦ κάπρου θήραν ἦσαν οἵδε, Μελέαγρος
Οἰνέως, Δρύας Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι, Ἴδας καὶ
Λυγκεὺς Ἀφαρέως ἐκ Μεσσήνης, Κάστωρ καὶ Πολυ-
δεύκης Διὸς καὶ Λήδας ἐκ Λακεδαίμονος, Θησεὺς Αἰ-
γέως ἐξ Ἀθηνῶν, Ἄδμητος Φέρητος ἐκ Φερῶν, Ἀγκαῖος 4
καὶ Κηφεὺς Λυκούργου ἐξ Ἀρκαδίας, Ἰάσων Αἴσονος
ἐξ Ἰωλκοῦ, Ἰφικλῆς Ἀμφιτρύωνος ἐκ Θηβῶν, Πειρί-
θους Ἰξίονος ἐκ Λαρίσης, Πηλεὺς Αἰακοῦ ἐκ Φθίας,
Τελαμὼν Αἰακοῦ ἐκ Σαλαμῖνος, Εὐρυτίων Ἄκτορος ἐκ
Φθίας, Ἀταλάντη Σχοινέως ἐξ Ἀρκαδίας, Ἀμφιάραος
Ὀικλέους ἐξ Ἄργους. μετὰ τούτων καὶ οἱ Θεστίου παῖ-
δες. συνελθόντας δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας 5
ἐξένισε· τῇ δεκάτῃ δὲ Κηφέως καὶ Ἀγκαίου καὶ τινῶν
ἄλλων ἀπαξιούντων μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέ-
ναι, Μελέαγρος ἔχων γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ
Μαρπήσσης θυγατέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάν-
της τεκνοποιήσασθαι, συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν θή-

6 ραν μετὰ ταύτης ἐξιέναι. περιστάντων δὲ αὐτῶν τὸν
κάπρον, Ὑλεὺς μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθά-
ρησαν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. τὸν
δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε,
δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν· Μελέαγρος
δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν
7 τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες ἀδο-
ξοῦντες εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται,
τὸ δέρας αὐτῇ ἀφείλοντο, κατὰ γένος αὐτοῖς προσήκειν
3 λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. ὀρ-
γισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέ-
κτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ
λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν
ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν.
2 οἳ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι, ἀμ-
φισβητούντων δὲ τῆς θήρας φασὶ τῶν Θεστίου παίδων
ὡς Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδω-
νίοις πόλεμον ἐνστῆναι, ἐξελθόντος δὲ Μελεάγρου καί
τινας τῶν Θεστίου παίδων φονεύσαντος Ἀλθαίαν ἀρά-
σασθαι κατ' αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν.
3 ἤδη δὲ τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων, καὶ
τῶν πολιτῶν ἀξιούντων μεθ' ἱκετηρίας βοηθεῖν, μόλις
πεισθέντα ὑπὸ τῆς γυναικὸς ἐξελθεῖν, καὶ τοὺς λοιποὺς
κτείναντα τῶν Θεστίου παίδων ἀποθανεῖν μαχόμενον.
4 μετὰ δὲ τὸν Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεοπά-
τρα ἑαυτὰς ἀνήρτησαν, αἱ δὲ θρηνοῦσαι τὸν νεκρὸν γυ-
ναῖκες ἀπωρνεώθησαν.
4 Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν
τὴν Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα
πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίο-
δος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱππο-
στράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι

πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον
ἀποκτεῖναι. εἰσὶ δέ τινες οἱ λέγοντες Ἱππόνουν ἐπι- 5
γνόντα τὴν ἰδίαν θυγατέρα ἐφθαρμένην ὑπὸ Οἰνέως,
ἔγκυον αὐτὴν πρὸς τοῦτον ἀποπέμψαι. ἐγεννήθη δὲ ἐκ
ταύτης Οἰνεῖ Τυδεύς. Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης
γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βού-
λησιν Διὸς ἐρασθῆναι.
Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη, 2
κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκά-
θοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλα-
νος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα Εὐρύαλον
Ὑπέρλαον Ἀντίοχον Εὐμήδην Στέρνοπα Ξάνθιππον
Σθενέλαον, ὡς δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν
ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς 3
Ἄργος ἧκε πρὸς Ἄδραστον, καὶ τὴν τούτου γήμας θυ-
γατέρα Δηιπύλην ἐγέννησε Διομήδην.
Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετ' Ἀδράστου στρα-
τευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν· οἱ δὲ 6
Ἀγρίου παῖδες, Θερσίτης Ὀγχηστὸς Πρόθοος Κελεύ-
τωρ Λυκωπεὺς Μελάνιππος, ἀφελόμενοι τὴν Οἰνέως
βασιλείαν τῷ πατρὶ ἔδοσαν, καὶ προσέτι ζῶντα τὸν Οἰ-
νέα καθείρξαντες ᾐκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ 2
Ἄργους παραγενόμενος μετ' Ἀλκμαίωνος κρύφα τοὺς
μὲν Ἀγρίου παῖδας, χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου,
πάντας ἀπέκτεινεν (οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόν-
νησον ἔφυγον), τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ
Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως γή-
μαντι ἔδωκε, τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν. οἱ 3
δὲ διαφυγόντες Ἀγρίου παῖδες ἐνεδρεύσαντες περὶ τὴν
Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν πρεσβύτην ἀπέκτει-
ναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας ἔθαψεν
ἔνθα νῦν πόλις ἀπ' ἐκείνου Οἰνόη καλεῖται, καὶ γήμας

Αἰγιάλειαν τὴν Ἀδράστου, ἢ ὡς ἔνιοί φασι τὴν Αἰγια-
λέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.

9 τῶν δὲ Αἰόλου παίδων Ἀθάμας, δυναστεύων Βοιω-
τίας, ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρίξον θυγατέρα δὲ
Ἕλλην. αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ
2 Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νε-
φέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν.
λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον.
γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους
3 οὐκ ἀνεδίδου· διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπ-
αλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμ-
φθέντας ἀνέπεισε λέγειν ὡς εἴη κεχρησμένον παύσασθαι
4 τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας
Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοι-
κούντων, τῷ βωμῷ παρέστησε Φρίξον. Νεφέλη δὲ μετὰ
τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε, καὶ παρὰ Ἑρμοῦ λα-
βοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ἐφ' οὗ φερόμενοι δι'
5 οὐρανοῦ γῆν ὑπερέβησαν καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο
κατὰ τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερ-
ρονήσου, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη, κἀκεῖ θανού-
σης αὐτῆς ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος.
6 Φρίξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε παῖς
Ἡλίου καὶ Περσηίδος, ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης,
ἣν Μίνως ἔγημεν. οὗτος αὐτὸν ὑποδέχεται, καὶ μίαν
τῶν θυγατέρων Χαλκιόπην δίδωσιν. ὁ δὲ τὸν χρυσό-
μαλλον κριὸν Διὶ θύει φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ
δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει
7 καθήλωσεν. ἐγένοντο δὲ ἐκ Χαλκιόπης Φρίξῳ παῖδες
Ἄργος Μέλας Φρόντις Κυτίσωρος.

2 Ἀθάμας δὲ ὕστερον διὰ μῆνιν Ἥρας καὶ τῶν ἐξ
Ἰνοῦς ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτόξευσε
Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ' ἑαυτῆς εἰς πέλαγος

ἔρριψεν. ἐκπεσὼν δὲ τῆς Βοιωτίας ἐπυνθάνετο τοῦ θεοῦ 2
ποῦ κατοικήσῃ· χρησθέντος δὲ αὐτῷ κατοικεῖν ἐν ᾧπερ
ἂν τόπῳ ὑπὸ ζῴων ἀγρίων ξενισθῇ, πολλὴν χώραν διελ-
θὼν ἐνέτυχε λύκοις προβάτων μοίρας νεμομένοις· οἱ δὲ
θεωρήσαντες αὐτόν, ἃ διῃροῦντο ἀπολιπόντες ἔφυγον.
Ἀθάμας δὲ κτίσας τὴν χώραν Ἀθαμαντίαν ἀφ' ἑαυτοῦ
προσηγόρευσε, καὶ γήμας Θεμιστὼ τὴν Ὑψέως ἐγέννησε 3
Λεύκωνα Ἐρύθριον Σχοινέα Πτῶον.

Σίσυφος δὲ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν λεγομέ- 3
νην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος. ἐξ αὐτῶν
παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης ἐξ Εὐρυ-
μέδης ἐγεννήθη, ὃς ἔκτεινε τὴν πυρίπνουν Χίμαιραν.
κολάζεται δὲ Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς χερσὶ καὶ τῇ 2
κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος
δὲ ὠθούμενος ὑπ' αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω.
τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσωποῦ θυγατέρα
Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα Δία Ἀσωπῷ
μηνῦσαι ζητοῦντι λέγεται.

Δηιὼν δὲ βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν 4
Ξούθου γαμεῖ, καὶ αὐτῷ γίνεται θυγάτηρ μὲν Ἀστερό-
πεια, παῖδες δὲ Αἰνετὸς Ἄκτωρ Φύλακος Κέφαλος, ὃς
γαμεῖ Πρόκριν τὴν Ἐρεχθέως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν
ἁρπάζει ἐρασθεῖσα.

Περιήρης δὲ Μεσσήνην κατασχὼν Γοργοφόνην τὴν 5
Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος
καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. πολλοὶ
δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα ἀλλὰ Κυ-
νόρτα τοῦ Ἀμύκλα· διόπερ τὰ περὶ τῶν Περιήρου ἐκ-
γόνων ἐν τῷ Ἀτλαντικῷ γένει δηλώσομεν.

Μάγνης δὲ Αἰόλου γαμεῖ νύμφην νηίδα, καὶ γίνον- 6
ται αὐτῷ παῖδες Πολυδέκτης καὶ Δίκτυς· οὗτοι Σέρι-
φον ᾤκισαν.

7 Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν κατ-
ῴκει, παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν ἐκεῖ πόλιν ἔκτι-
σεν. ὑβριστὴς δὲ ὢν καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ
τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία,
καὶ τὰς ἐκείνου θυσίας ἀφελόμενος ἑαυτῷ προσέτασσε
θύειν, καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος μετὰ
λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς
οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς
δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν
καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

8 Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκιδίκης
παρὰ Κρηθεῖ τῷ Σαλμωνέως ἀδελφῷ τρεφομένη ἔρωτα
ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ, καὶ συνεχῶς ἐπὶ τὰ τούτου
ῥεῖθρα φοιτῶσα τούτοις ἐπωδύρετο. Ποσειδῶν δὲ εἰ-
κασθεὶς Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ· ἣ δὲ γεννήσασα
2 κρύφα διδύμους παῖδας ἐκτίθησιν. ἐκκειμένων δὲ τῶν
βρεφῶν, παριόντων ἱπποφορβῶν ἵππος μία προσαψα-
μένη τῇ χηλῇ θατέρου τῶν βρεφῶν πέλιόν τι τοῦ προ-
σώπου μέρος ἐποίησεν. ὁ δὲ ἱπποφορβὸς ἀμφοτέρους
τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν μὲν πελιω-
3 θέντα Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειω-
θέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν
ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ' αὐ-
τῆς τὴν μητέρα ὥρμησαν ἐπ' αὐτήν, ἣ δὲ φθάσασα εἰς
τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ' αὐτῶν
τῶν βωμῶν αὐτὴν κατέσφαξε, καὶ καθόλου διετέλει τὴν
9 Ἥραν ἀτιμάζων. ἐστασίασαν δὲ ὕστερον πρὸς ἀλλήλους,
καὶ Νηλεὺς μὲν ἐκπεσὼν ἧκεν εἰς Μεσσήνην, καὶ Πύ-
λον κτίζει, καὶ γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς
αὐτῷ γίνεται θυγάτηρ μὲν Πηρώ, ἄρρενες δὲ Ταῦρος
Ἀστέριος Πυλάων Δηίμαχος Εὐρύβιος Ἐπίδαος Ῥάδιος,
Εὐρυμένης Εὐαγόρας Ἀλάστωρ Νέστωρ Περικλύμενος,

ᾧ δὴ Ποσειδῶν δίδωσι μεταβάλλειν τὰς μορφάς, καὶ 2
μαχόμενος ὅτε Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινόμενος
ὁτὲ μὲν λέων ὁτὲ δὲ ὄφις ὁτὲ δὲ μέλισσα, ὑφ' Ἡρακλέους
μετὰ τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν. ἐσώθη δὲ 3
Νέστωρ μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέφετο· ὃς γή-
μας Ἀναξιβίαν τὴν Κρατιέως θυγατέρας μὲν Πεισιδίκην
καὶ Πολυκάστην ἐγέννησε, παῖδας δὲ Περσέα Στράτιχον
Ἄρητον Ἐχέφρονα Πεισίστρατον Ἀντίλοχον Θρασυ-
μήδην.

Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει, καὶ γήμας 10
Ἀναξιβίαν τὴν Βίαντος, ὡς δὲ ἔνιοι λέγουσι Φυλομάχην
τὴν Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον, θυγατέ-
ρας δὲ Πεισιδίκην Πελόπειαν Ἱπποθόην Ἄλκηστιν.

Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν γαμεῖ Τυρὼ τὴν Σαλ- 11
μωνέως, ἐξ ἧς αὐτῷ γίνονται παῖδες Αἴσων Ἀμυθάων
Φέρης. Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον Εἰδομένην γα- 2
μεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας καὶ
Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης πρὸ
τῆς οἰκήσεως αὐτοῦ δρυὸς ἐν ᾗ φωλεὸς ὄφεων ὑπῆρχεν,
ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις τὰ μὲν ἑρ-
πετὰ ξύλα συμφορήσας ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων νεοσ-
σοὺς ἔθρεψεν. οἳ δὲ γενόμενοι τέλειοι περιστάντες αὐτῷ 3
κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου τὰς ἀκοὰς ταῖς γλώσ-
σαις ἐξεκάθαιρον. ὃ δὲ ἀναστὰς καὶ γενόμενος περι-
δεὴς τῶν ὑπερπετομένων ὀρνέων τὰς φωνὰς συνίει, καὶ
παρ' ἐκείνων μανθάνων προύλεγε τοῖς ἀνθρώποις τὰ
μέλλοντα. προσέλαβε δὲ καὶ τὴν διὰ τῶν ἱερῶν μαντι-
κήν, περὶ δὲ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι τὸ λοι-
πὸν ἄριστος ἦν μάντις. Βίας δὲ ὁ Ἀμυθάονος ἐμνη- 12
στεύετο Πηρὼ τὴν Νηλέως· ὃ δὲ πολλῶν αὐτῷ μνη-
στευομένων τὴν θυγατέρα δώσειν ἔφη τῷ τὰς Ἰφίκλου
βόας κομίσαντι αὐτῷ. αὗται δὲ ἦσαν ἐν Φυλάκῃ, καὶ

κύων ἐφύλασσεν αὐτὰς οὗ οὔτε ἄνθρωπος οὔτε θηρίον
2 πέλας ἐλθεῖν ἠδύνατο. ταύτας ἀδυνατῶν Βίας τὰς βόας
κλέψαι παρεκάλει τὸν ἀδελφὸν συλλαβέσθαι. Μελάμ-
πους δὲ ὑπέσχετο, καὶ προεῖπεν ὅτι φωραθήσεται κλέ-
3 πτων καὶ δεθεὶς ἐνιαυτὸν οὕτω τὰς βόας λήψεται. μετὰ
δὲ τὴν ὑπόσχεσιν εἰς Φυλάκην ἀπῄει, καὶ καθάπερ προ-
εῖπε, φωραθεὶς ἐπὶ τῇ κλοπῇ δέσμιος ἐν οἰκήματι ἐφυ-
4 λάττετο. λειπομένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου,
τῶν κατὰ τὸ κρυφαῖον τῆς στέγης σκωλήκων ἀκούει,
τοῦ μὲν ἐρωτῶντος πόσον ἤδη μέρος τοῦ δοκοῦ διαβέ-
βρωται, τῶν δὲ ἀποκρινομένων λοιπὸν ἐλάχιστον εἶναι.
καὶ ταχέως ἐκέλευσεν αὐτὸν εἰς ἕτερον οἴκημα μεταγα-
γεῖν, γενομένου δὲ τούτου μετ' οὐ πολὺ συνέπεσε τὸ
5 οἴκημα. θαυμάσας δὲ Φύλακος, καὶ μαθὼν ὅτι ἔστι μάν-
τις ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν ὅπως αὐτοῦ τῷ
παιδὶ Ἰφίκλῳ παῖδες γεννῶνται. ὃ δὲ ὑπέσχετο ἐφ' ᾧ
τὰς βόας λήψεται. καὶ καταθύσας ταύρους δύο καὶ με-
6 λείσας, τοὺς οἰωνοὺς προσεκαλέσατο· παραγενομένου
δὲ αἰγυπιοῦ, παρὰ τούτου μανθάνει δὴ ὅτι Φύλακός
ποτε κριοὺς τέμνων ἐπὶ τῶν ἀγρῶν παρὰ τῷ Ἰφίκλῳ
τὴν μάχαιραν ᾑμαγμένην ἔτι κατέθετο, δείσαντος δὲ τοῦ
παιδὸς καὶ φυγόντος αὖθις κατὰ τὴς ἱερᾶς δρυὸς αὐτὴν
ἔπηξε, καὶ ταύτην ἀμφιτροχώσας ἐκάλυψεν ὁ φλοιός.
7 ἔλεγεν οὖν, εὑρεθείσης τῆς μαχαίρας εἰ ξύων τὸν ἰὸν ἐπὶ
ἡμέρας δέκα Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεννήσειν. ταῦτα
μαθὼν παρ' αἰγυπιοῦ Μελάμπους τὴν μὲν μάχαιραν
εὗρε, τῷ δὲ Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ ἡμέρας δέκα
8 ἔδωκε πιεῖν, καὶ παῖς αὐτῷ Ποδάρκης ἐγένετο. τὰς δὲ
βόας εἰς Πύλον ἤλασε, καὶ τῷ ἀδελφῷ τὴν Νηλέως θυ-
γατέρα λαβὼν ἔδωκε. καὶ μέχρι μέν τινος ἐν Μεσσήνῃ
κατῴκει, ὡς δὲ τὰς ἐν Ἄργει γυναῖκας ἐξέμηνε Διόνυ-

σος, ἐπὶ μέρει τῆς βασιλείας ἰασάμενος αὐτὰς ἐκεῖ μετὰ
Βίαντος κατῴκησε.

Βίαντος δὲ καὶ Πηροῦς Ταλαός, οὗ καὶ Λυσιμάχης 13
τῆς Ἄβαντος τοῦ Μελάμποδος Ἄδραστος Παρθενοπαῖος
Πρῶναξ Μηκιστεὺς Ἀριστόμαχος Ἐριφύλη, ἣν Ἀμφιά-
ραος γαμεῖ. Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς 2
μετὰ τῶν ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη, Μηκιστέως
δὲ Εὐρύαλος, ὃς ἦκεν εἰς Τροίαν. Πρώνακτος δὲ ἐγέ-
νετο Λυκοῦργος, Ἀδράστου δὲ καὶ Ἀμφιθέας τῆς Πρώ-
νακτος θυγατέρες μὲν Ἀργεία Δηιπύλη Αἰγιάλεια, παῖ-
δες δὲ Αἰγιαλεὺς καὶ Κυάνιππος.

Φέρης δὲ ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας 14
ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν
οὖν περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς
δὲ ἔνιοί φασιν Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην κληθέντα
Ἀρχέμορον. Ἀδμήτου δὲ βασιλεύοντος τῶν Φερῶν, ἐθή- 15
τευσεν Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυ-
γατέρα Ἄλκηστιν. ἐκείνῳ δὲ δώσειν ἐπαγγειλαμένου
Πελίου τὴν θυγατέρα τῷ καταζεύξαντι ἅρμα λεόντων
καὶ κάπρων, Ἀπόλλων ζεύξας ἔδωκεν· ὃ δὲ κομίσας
πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει. θύων δὲ ἐν τοῖς γά- 2
μοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο τὸν θάλαμον
ἀνοίξας εὗρε δρακόντων σπείραις πεπληρωμένον. Ἀπόλ-
λων δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν θεόν, ᾐτήσατο παρὰ
μοιρῶν ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾶν, ἀπολυθῇ
τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν
ἕληται. ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ 3
πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων
Ἄλκηστις ὑπεραπέθανε. καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ
Κόρη, ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρακλῆς [ἀνεκόμισε] μα-
χεσάμενος Ἅδῃ.

Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτο- 16

λύκου Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πε-
λίας ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ χρωμένῳ περὶ τῆς βα-
σιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξα-
2 σθαι. τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ
ὕστερον αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Πο-
σειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν
3 Ἰάσονα μετεπέμψατο. ὃ δὲ πόθῳ γεωργίας ἐν τοῖς χω-
ρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν, διαβαίνων δὲ
ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπο-
4 λέσας ἐν τῷ ῥείθρῳ πέδιλον. θεασάμενος δὲ Πελίας
αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσελθών,
τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός
τινος φονευθήσεσθαι τῶν πολιτῶν. ὃ δέ, εἴτε ἐπελθὸν
ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδεια
Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), "τὸ χρυσόμαλλον δέ-
5 ρας" ἔφη "προσέταττον ἂν φέρειν αὐτῷ". τοῦτο Πελίας
ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν.
τοῦτο ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ
δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀύπνου.

6 ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε
τὸν Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόν-
τορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ
κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμο-
7 σεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. ὡς δὲ
ἡ ναῦς κατεσκευάσθη, [καὶ] χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν
ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος.
οἱ δὲ συναθροισθέντες εἰσὶν οἵδε, Τῖφυς Ἁγνίου, ὃς
ἐκυβέρνα τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κά-
λαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν
8 καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως,
Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Ὀικλέους,
Καινεὺς Κορώνου, Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ,

Κηφεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεισίου, Αὐτόλυκος Ἑρ-
μοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ
Ἱππάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυ-
τος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου,
Εὔφημος Ποσειδῶνος, Ποίας Θαυμάκου, Βούτης Τε- 9
λέοντος, Φᾶνος καὶ Στάφυλος Διονύσου, Ἐργῖνος Πο-
σειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφι-
κλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως,
Πηνέλεως Ἱππάλμου, Λήιτος Ἀλέκτορος, Ἴφιτος Ναυ-
βόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἀστέριος Κο-
μήτου, Πολύφημος Ἐλάτου.

οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσ- 17
ίσχουσι Λήμνῳ. ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα
ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος
δι' αἰτίαν τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων·
ἣ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ γή-
μαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες αἰχμαλω- 2
τίδας συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ αἱ Λήμνιαι
τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι· μόνη δὲ
ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα Θόαντα.
προσσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ Λήμνῳ
μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι συνευνά-
ζεται, καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον.

ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσιν, ὧν ἐβασίλευε 18
Κύζικος. οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. νυκτὸς
ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις, πά-
λιν τοῖς Δολίοσι προσίσχουσιν. οἳ δὲ νομίζοντες Πε-
λασγικὸν εἶναι στρατόν (ἔτυχον γὰρ ὑπὸ Πελασγῶν
συνεχῶς πολεμούμενοι) μάχην τῆς νυκτὸς συνάπτουσιν
ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες δὲ πολλοὺς 2
οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς
ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκείραντο καὶ τὸν

*Κύζικον πολυτελῶς ἔθαψαν. καὶ μετὰ τὴν ταφὴν πλεύ-
σαντες Μυσίᾳ προσίσχουσιν.*

19 *ἐνταῦθα δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον.
Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμε-
νος, ἀποσταλεὶς ὑδρεύσασθαι διὰ κάλλος ὑπὸ νυμφῶν
2 ἡρπάγη. Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοήσαντος, σπα-
σάμενος τὸ ξίφος ἐδίωξεν, ὑπὸ λῃστῶν ἄγεσθαι νομί-
ζων. καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. ζητούντων δὲ ἀμ-
φοτέρων τὸν Ὕλαν ἡ ναῦς ἀνήχθη, καὶ Πολύφημος μὲν
ἐν Μυσίᾳ κτίσας πόλιν Κίου ἐβασίλευσεν, Ἡρακλῆς δὲ
3 ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος δὲ αὐτὸν οὐδὲ τὴν
ἀρχήν φησι πλεῦσαι τότε, ἀλλὰ παρ' Ὀμφάλῃ δουλεύειν.
Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφεταῖς τῆς Θεσσαλίας ἀπο-
λειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης μὴ δύνασθαι
4 φέρειν τούτου τὸ βάρος. Δημάρατος δὲ αὐτὸν εἰς Κόλ-
χους πεπλευκότα παρέδωκε· Διονύσιος μὲν γὰρ αὐτὸν
καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν γενέσθαι.*

20 *ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν,
ἧς ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος.
γενναῖος δὲ ὢν οὗτος τοὺς προσίσχοντας ξένους ἠνάγκαζε
πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. παραγενόμε-
νος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ τὸν ἄριστον αὐτῶν εἰς
2 πυγμὴν προυκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος
πυκτεύσειν πρὸς αὐτόν, πλήξας κατὰ τὸν αὐχένα ἀπ-
έκτεινε. τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτόν,
ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα πολλοὺς φεύγοντας
φονεύουσιν αὐτῶν.*

21 *ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν Θρᾴκης
Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις πε-
πηρωμένος. τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγου-
2 σιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναί φασιν αὐ-
τὸν οἱ μὲν ὑπὸ θεῶν, ὅτι προύλεγε τοῖς ἀνθρώποις τὰ*

*μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι
πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς
δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλ-
χων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ αὐτῷ 3
καὶ τὰς ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ
ἐπειδὴ τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθι-
πτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς
ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. 4
βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μα-
θεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν ἁρπυιῶν αὐτὸν
ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδε-
σμάτων, ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν
τροφὴν ἥρπαζον. θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζή- 5
της καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη
δι' ἀέρος ἐδίωκον. ἦν δὲ ταῖς ἁρπυίαις χρεὼν τεθνάναι
ὑπὸ τῶν Βορέου παίδων, τοῖς δὲ Βορέου παισὶ τότε τε-
λευτήσειν ὅταν διώκοντες μὴ καταλάβωσι. διωκομένων 6
δὲ τῶν ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τί-
γρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς κα-
λεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην οἱ δὲ Ἀελλόπουν
καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι 7
Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη
κατὰ τὴν Προποντίδα φεύγουσα μέχρις Ἐχινάδων ἦλθε
νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστρά-
φη γὰρ ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν
ᾐόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος 8
δὲ ἐν τοῖς Ἀργοναύταις ἕως Στροφάδων νήσων φησὶν
αὐτὰς διωχθῆναι καὶ μηδὲν παθεῖν, δούσας ὅρκον τὸν
Φινέα μηκέτι ἀδικῆσαι.*

*ἀπαλλαγεὶς δὲ τῶν ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν 22
πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν συμπληγάδων
ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. ἦσαν δὲ ὑπερ- 2*

μεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν
πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον.
ἐφέρετο δὲ πολλὴ μὲν ὑπὲρ αὐτῶν ὁμίχλη πολὺς δὲ πά-
ταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλ-
3 θεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πε-
τρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν
καταφρονοῦντας, ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζε-
4 σθαι. ταῦτα ἀνήγοντο ἀκούσαντες, καὶ ὡς πλησίον ἦσαν
τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρῴρας πελειάδα· τῆς δὲ
ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν
5 ἀπεθέρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέ-
τρας μετ' εἰρεσίας ἐντόνου, συλλαβομένης Ἥρας, διῆλ-
θον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης.
αἱ μὲν οὖν συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν
23 αὐταῖς νηὸς περαιωθείσης στῆναι παντελῶς· οἱ δὲ Ἀρ-
γοναῦται πρὸς Μαριανδυνοὺς παρεγένοντο, κἀκεῖ φι-
λοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο Λύκος. ἔνθα θνήσκει
μὲν Ἴδμων ὁ μάντις πλήξαντος αὐτὸν κάπρου, θνήσκει
δὲ καὶ Τῖφυς, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυ-
βερνᾶν.

2 παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον ἐπὶ
Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστὶ γῆς.
καθορμισθείσης δὲ τῆς νηὸς ἧκε πρὸς Αἰήτην Ἰάσων,
καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι
3 τὸ δέρας αὐτῷ· ὃ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκό-
ποδας ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ'
αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον
Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στο-
4 μάτων ἐφύσων. τούτους αὐτῷ ζεύξαντι ἐπέτασσε σπεί-
ρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς
τοὺς ἡμίσεις ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. ἀποροῦν-
τος δὲ τοῦ Ἰάσονος πῶς ἂν δύναιτο τοὺς ταύρους κατα-

ζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει· ἦν δὲ αὕτη θυγά- 5
τηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. δεδοι-
κυῖα δὲ μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ
πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν
ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ
αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. 6
ὀμόσαντος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευ-
γνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε
ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα
ἔφη πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς ἀδικηθήσε-
σθαι μήτε ὑπὸ σιδήρου. ἐδήλωσε δὲ αὐτῷ σπειρομένων 7
τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ'
αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν ἐπειδὰν ἀθρόους
θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ
ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐ- 8
τούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρ-
μάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος ἐμάστευε
τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς
κατέζευξε. σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας ἀνέτελλον 9
ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὃ δὲ ὅπου πλείονας ἑώρα,
βάλλων ἀφανεῖς λίθους, πρὸς αὐτοὺς μαχομένους πρὸς
ἀλλήλους προσιὼν ἀνῄρει. καὶ κατεζευγμένων τῶν ταύ- 10
ρων οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε
Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. φθά-
σασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε, 11
καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρ-
μάκοις μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ
παρεγένετο. συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρ-
τος. οἳ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα ὥρ- 24
μησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα
Μήδεια τὸν ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ βυθοῦ

2 ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς
διώξεως ὑστέρησε· ὥσπερ ὑποστρέψας, καὶ τὰ σωθέντα
τοῦ παιδὸς μέλη θάψας, τὸν τόπον προσηγόρευσε Τό-
3 μους. πολλοὺς δὲ τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς
Ἀργοῦς ἐξέπεμψεν, ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν,
αὐτοὺς πείσεσθαι τὰ ἐκείνης. οἱ δὲ διαχεθέντες ἄλλος
ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

4 τοῖς δὲ Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη
παραπλέουσι μηνίσας Ζεὺς ὑπὲρ τοῦ φονευθέντος Ἀψύρ-
του χειμῶνα λάβρον ἐπιπέμψας ἐμβάλλει πλάνην. καὶ
αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς
φθέγγεται μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, εἰ μὴ πορευ-
θέντες εἰς τὴν Αὐσονίαν τὸν Ἀψύρτου φόνον καθαρ-
5 θῶσιν ὑπὸ Κίρκης. οἱ δὲ παραπλεύσαντες τὰ Λιγύων
καὶ Κελτῶν ἔθνη, καὶ διὰ τοῦ Σαρδονίου πελάγους
κομισθέντες, παραμειψάμενοι Τυρρηνίαν ἦλθον εἰς
Αἰαίαν, ἔνθα Κίρκῃ ἱκέται γενόμενοι καθαίρονται.

25 παραπλεόντων δὲ Σειρῆνας αὐτῶν, Ὀρφεὺς τὴν
ἐναντίαν μοῦσαν μελῳδῶν τοὺς Ἀργοναύτας κατέσχε.
μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτάς, ὃν ἁρπάσασα
Ἀφροδίτη ἐν Λιλυβαίῳ κατῴκισε.

2 μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο
καὶ Σκύλλα καὶ πέτραι πλαγκταί, ὑπὲρ ὧν φλὸξ πολλὴ
καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. ἀλλὰ διὰ τούτων
διεκόμισε τὴν ναῦν σὺν Νηρηίσι Θέτις παρακληθεῖσα
ὑπὸ Ἥρας.

3 παραμειψάμενοι δὲ Θρινακίαν νῆσον Ἡλίου βοῦς
ἔχουσαν εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἧκον, ἧς βα-
σιλεὺς ἦν Ἀλκίνοος. τῶν δὲ Κόλχων τὴν ναῦν εὑρεῖν
μὴ δυναμένων οἱ μὲν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν,
οἱ δὲ εἰς τὴν Ἰλλυρίδα κομισθέντες ἔκτισαν Ἀψυρτίδας
4 νήσους· ἔνιοι δὲ πρὸς Φαίακας ἐλθόντες τὴν Ἀργὼ

κατέλαβον καὶ τὴν Μήδειαν ἀπῄτουν παρ᾽ Ἀλκινόου.
ὃ δὲ εἶπεν, εἰ μὲν ἤδη συνελήλυθεν Ἰάσονι, δώσειν αὐ-
τὴν ἐκείνῳ, εἰ δὲ ἔτι παρθένος ἐστί, τῷ πατρὶ ἀποπέμ-
ψειν. Ἀρήτη δὲ ἡ Ἀλκινόου γυνὴ φθάσασα Μήδειαν 5
Ἰάσονι συνέζευξεν· ὅθεν οἱ μὲν Κόλχοι μετὰ Φαιάκων
κατῴκησαν, οἱ δὲ Ἀργοναῦται μετὰ τῆς Μηδείας ἀν-
ήχθησαν.

πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. 26
Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειράς, τοξεύσας
τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον
ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι
προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. ἱδρυσάμενοι δὲ 2
βωμὸν Ἀπόλλωνος αἰγλήτου καὶ θυσιάσαντες ἐπ᾽ εὐω-
χίαν ἐτράπησαν. δοθεῖσαι δὲ ὑπὸ Ἀρήτης Μηδείᾳ δώ-
δεκα θεράπαιναι τοὺς ἀριστέας ἔσκωπτον μετὰ παιγνίας·
ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ σύνηθές ἐστι σκώπτειν
ταῖς γυναιξίν.

ἐντεῦθεν ἀναχθέντες κωλύονται Κρήτῃ προσίσχειν 3
ὑπὸ Τάλω. τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέ-
γουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι. ὃς ἦν
χαλκοῦς ἀνήρ, οἱ δὲ ταῦρον αὐτὸν λέγουσιν. εἶχε δὲ
φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν·
κατὰ δὲ τὸ τέρμα τῆς φλεβὸς ἧλος διήρειστο χαλκοῦς.
οὗτος ὁ Τάλως τρὶς ἑκάστης ἡμέρας τὴν νῆσον περιτρο- 4
χάζων ἐτήρει· διὸ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν
θεωρῶν τοῖς λίθοις ἔβαλλεν. ἐξαπατηθεὶς δὲ ὑπὸ Μη-
δείας ἀπέθανεν, ὡς μὲν ἔνιοι λέγουσι, διὰ φαρμάκων 5
αὐτῷ μανίαν Μεδείας ἐμβαλούσης, ὡς δέ τινες, ὑποσχο-
μένης ποιήσειν ἀθάνατον αὐτὸν καὶ τὸν ἧλον ἐξελούσης,
ἐκρυέντος τοῦ παντὸς ἰχῶρος [ἀποθανεῖν]. τινὲς δὲ αὐ-
τὸν τοξευθέντα ὑπὸ Ποίαντος εἰς τὸ σφυρὸν τελευτῆσαι
λέγουσι.

6 μίαν δὲ ἐνταῦθα νύκτα μείναντες Αἰγίνῃ προσ-
ίσχουσιν ὑδρεύσασθαι θέλοντες, καὶ γίνεται περὶ τῆς
ὑδρείας αὐτοῖς ἅμιλλα. ἐκεῖθεν δὲ διὰ τῆς Εὐβοίας καὶ
τῆς Λοκρίδος πλεύσαντες εἰς Ἰωλκὸν ἦλθον, τὸν πάντα
πλοῦν ἐν τέσσαρσι μησὶ τελειώσαντες.

27 Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργο-
ναυτῶν τὸν Αἴσονα κτείνειν ἤθελεν· ὃ δὲ αἰτησάμενος
ἑαυτὸν ἀνελεῖν, θυσίαν ἐπιτελῶν ἀδεῶς τὸ τοῦ ταύρου
2 αἷμα σπασάμενος ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρα-
σαμένη Πελίᾳ, νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον
ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν καταλειφθέντα
3 παῖδα ἀπέκτεινεν αὐτῆς. ὁ δὲ Ἰάσων κατελθὼν τὸ μὲν
δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων
καιρὸν ἐξεδέχετο. καὶ τότε μὲν εἰς Ἰσθμὸν μετὰ τῶν
4 ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι, αὖθις
δὲ Μήδειαν παρακαλεῖ ζητεῖν ὅπως Πελίας αὐτῷ δίκας
ὑποσχῇ. ἣ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα
πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι
καὶ καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη
ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν κριὸν μελεΐσασα
5 καὶ καθεψήσασα ἐποίησεν ἄρνα. αἳ δὲ πιστεύσασαι τὸν
πατέρα κρεουργοῦσι καὶ καθέψουσιν. Ἄκαστος δὲ μετὰ
τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ
Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει.

28 οἳ δὲ ἧκον εἰς Κόρινθον, καὶ δέκα μὲν ἔτη διετέ-
λουν εὐτυχοῦντες, αὖθις δὲ τοῦ τῆς Κορίνθου βασιλέως
Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος,
2 παραπεμψάμενος Ἰάσων Μήδειαν ἐγάμει. ἣ δέ, οὓς τε
ὤμοσεν Ἰάσων θεοὺς ἐπικαλεσαμένη καὶ τὴν Ἰάσονος
ἀχαριστίαν μεμψαμένη πολλάκις, τῇ μὲν γαμουμένῃ
πέπλον μεμαγευμένον φαρμάκῳ ἔπεμψεν, ὃν ἀμφιασα-
μένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ καταφλέ-

γεται, τοὺς δὲ παῖδας οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον
καὶ Φέρητα, ἀπέκτεινε, καὶ λαβοῦσα παρ' Ἡλίου ἅρμα 3
πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς
Ἀθήνας. λέγεται δὲ ὅτι φεύγουσα τοὺς παῖδας ἔτι νη-
πίους ὄντας κατέλιπεν, ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν
τῆς Ἥρας τῆς ἀκραίας, Κορίνθιοι δὲ αὐτοὺς ἀναστή-
σαντες κατετραυμάτισαν.

Μήδεια δὲ ἧκεν εἰς Ἀθήνας, κἀκεῖ γαμηθεῖσα Αἰ- 4
γεῖ παῖδα γεννᾷ Μῆδον. ἐπιβουλεύουσα δὲ ὕστερον
Θησεῖ, φυγὰς ἐξ Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐκβάλλεται.
ἀλλ' οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ' ἑαυ-
τὸν χώραν ἅπασαν Μηδίαν ἐκάλεσε, καὶ στρατευόμενος
ἐπὶ Ἰνδοὺς ἀπέθανε· Μήδεια δὲ εἰς Κόλχους ἦλθεν 5
ἄγνωστος, καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ ἀδελφοῦ
Πέρσου τῆς βασιλείας ἐστερημένον, κτείνασα τοῦτον τῷ
πατρὶ τὴν βασιλείαν ἀποκατέστησεν.

Ἐπειδὴ δὲ τὸ τοῦ Δευκαλίωνος διεξεληλύθαμεν γέ- **2**
νος, ἐχομένως λέγωμεν τὸ Ἰνάχειον.

Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ 2
ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. τούτου καὶ Μελίας
τῆς Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγέ-
νοντο. Αἰγιαλέως μὲν οὖν ἄπαιδος ἀποθανόντος ἡ χώρα 3
ἅπασα Αἰγιάλεια ἐκλήθη, Φορωνεὺς δὲ ἁπάσης τῆς ὕστε-
ρον Πελοποννήσου προσαγορευθείσης δυναστεύων ἐκ
Τηλεδίκης νύμφης Ἆπιν καὶ Νιόβην ἐγέννησεν. Ἆπις 4
μὲν οὖν εἰς τυραννίδα τὴν ἑαυτοῦ μεταστήσας δύναμιν
καὶ βίαιος ὢν τύραννος, ὀναμάσας ἀφ' ἑαυτοῦ τὴν Πελο-
πόννησον Ἀπίαν, ὑπὸ Θελξίονος καὶ Τελχῖνος ἐπιβου-
λευθεὶς ἄπαις ἀπέθανε, καὶ νομισθεὶς θεὸς ἐκλήθη Σά-
ραπις· Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς 5
θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός
φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι τοὺς τὴν Πελο-

πόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν Πε-
2 *λασγὸν αὐτόχθονά φησιν εἶναι. ἀλλὰ περὶ μὲν τούτου*
πάλιν ἐροῦμεν· Ἄργος δὲ λαβὼν παρὰ Φορωνέως τὴν
βασιλείαν ἀφ' ἑαυτοῦ τὴν Πελοπόννησον ἐκάλεσεν Ἄρ-
γος, καὶ γήμας Εὐάδνην τὴν Στρυμόνος καὶ Νεαίρας
ἐτέκνωσεν Ἔκβασον Πείραντα Ἐπίδαυρον Κρίασον, ὃς
καὶ τὴν βασιλείαν παρέλαβεν.
2 *Ἐκβάσου δὲ Ἀγήνωρ γίνεται, τούτου δὲ Ἄργος ὁ*
πανόπτης λεγόμενος. εἶχε δὲ οὗτος ὀφθαλμοὺς μὲν ἐν
παντὶ τῷ σώματι, ὑπερβάλλων δὲ δυνάμει τὸν μὲν τὴν
Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνελὼν τὴν τούτου
3 *δορὰν ἠμφιάσατο, Σάτυρον δὲ τοὺς Ἀρκάδας ἀδικοῦντα*
καὶ ἀφαιρούμενον τὰ βοσκήματα ὑποστὰς ἀπέκτεινε.
λέγεται δὲ ὅτι καὶ τὴν Ταρτάρου καὶ Γῆς Ἔχιδναν, ἣ
τοὺς παριόντας συνήρπαζεν, ἐπιτηρήσας κοιμωμένην
ἀπέκτεινεν. ἐξεδίκησε δὲ καὶ τὸν Ἄπιδος φόνον, τοὺς
αἰτίους ἀποκτείνας.
3 *Ἄργου δὲ καὶ Ἰσμήνης τῆς Ἀσωποῦ παῖς Ἴασος, οὗ*
φασὶν Ἰὼ γενέσθαι. Κάστωρ δὲ ὁ συγγράψας τὰ χρο-
νικὰ καὶ πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγου-
σιν· Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν φα-
2 *σιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς*
ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμε-
νος εἰς βοῦν μετεμόρφωσε λευκήν, αὐτὴν δὲ ἀπωμόσατο
μὴ συνελθεῖν· διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν
ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρω-
3 *τος. Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα*
αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην, ὃν Φερεκύδης
μὲν Ἀρέστορος λέγει, Ἀσκληπιάδης δὲ Ἰνάχου, Κέρκωψ
δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός· Ἀκου-
4 *σίλαος δὲ γηγενῆ αὐτὸν λέγει. οὗτος ἐκ τῆς ἐλαίας*
ἐδέσμευεν αὐτὴν ἥτις ἐν τῷ Μυκηναίων ὑπῆρχεν ἄλσει.

Διὸς δὲ ἐπιτάξαντος Ἑρμῇ κλέψαι τὴν βοῦν, μηνύσαν-
τος Ἱέρακος, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο, λίθῳ βαλὼν
ἀπέκτεινε τὸν Ἄργον, ὅθεν ἀργειφόντης ἐκλήθη. Ἥρα 5
δὲ τῇ βοῒ οἶστρον ἐμβάλλει. ἣ δὲ πρῶτον ⟨μὲν⟩ ἧκεν εἰς
τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα, ἔπειτα διὰ τῆς
Ἰλλυρίδος πορευθεῖσα καὶ τὸν Αἷμον ὑπερβαλοῦσα διέβη
τὸν τότε μὲν καλούμενον πόρον Θρᾴκιον, νῦν δὲ ἀπ'
ἐκείνης Βόσπορον. ἐπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν 6
Κιμμερίδα γῆν, πολλὴν χέρσον πλανηθεῖσα καὶ πολλὴν
διανηξαμένη θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας, τελευ-
ταῖον ἧκεν εἰς Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν
ἀπολαβοῦσα γεννᾷ παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον
παῖδα. τοῦτον δὲ Ἥρα δεῖται Κουρήτων ἀφανῆ ποιῆσαι· 7
οἳ δὲ ἠφάνισαν αὐτόν. καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει
Κούρητας, Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. πλα-
νωμένη δὲ κατὰ τὴν Συρίαν ἅπασαν (ἐκεῖ γὰρ ἐμηνύετο
⟨ὅτι⟩ ἡ τοῦ Βυβλίων βασιλέως γυνὴ ἐτιθήνει τὸν υἱόν)
καὶ τὸν Ἔπαφον εὑροῦσα, εἰς Αἴγυπτον ἐλθοῦσα ἐγα- 8
μήθη Τηλεγόνῳ τῷ βασιλεύοντι τότε Αἰγυπτίων. ἱδρύ-
σατο δὲ ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσαν Ἶσιν Αἰγύπτιοι,
καὶ τὴν Ἰὼ Ἶσιν ὁμοίως προσηγόρευσαν.
Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων γαμεῖ Μέμφιν τὴν 4
Νείλου θυγατέρα, καὶ ἀπὸ ταύτης κτίζει Μέμφιν πόλιν,
καὶ τεκνοῖ θυγατέρα Λιβύην, ἀφ' ἧς ἡ χώρα Λιβύη
ἐκλήθη. Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται παῖδες δί- 2
δυμοι Ἀγήνωρ καὶ Βῆλος. Ἀγήνωρ μὲν οὖν εἰς Φοινί-
κην ἀπαλλαγεὶς ἐβασίλευσε, κἀκεῖ τῆς μεγάλης ῥίζης
ἐγένετο γενεάρχης· ὅθεν ὑπερθησόμεθα περὶ τούτου.
Βῆλος δὲ ὑπομείνας ἐν Αἰγύπτῳ βασιλεύει μὲν Αἰγύ- 3
πτου, γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ
αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός,
ὡς δέ φησιν Εὐριπίδης, καὶ Κηφεὺς καὶ Φινεὺς προσέτι.

4 Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον
δὲ ἐν Ἀραβίᾳ, ὃς καὶ καταστρεψάμενος τὴν Μελαμπό-
δων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται
δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντή-
5 κοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. στασιασάντων
δὲ αὐτῶν ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δε-
δοικώς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ ναῦν κατεσκεύασε
6 πρῶτος καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε. προσσχὼν
δὲ Ῥόδῳ τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐν-
τεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ
7 παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων. ἀνύδρου δὲ τῆς
χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Πο-
σειδῶν μηνίων Ἰνάχῳ διότι τὴν χώραν Ἥρας ἐμαρτύ-
8 ρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψε. μία
δὲ αὐτῶν Ἀμυμώνη ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ ἔλα-
φον καὶ κοιμωμένου Σατύρου τυγχάνει, κἀκεῖνος περι-
αναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ ἐπιφα-
νέντος ὁ Σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ τούτῳ
συνευνάζεται, καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ πηγὰς
5 ἐμήνυσεν. οἱ δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος
τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν καὶ τὰς θυγατέ-
ρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν ἀπιστῶν
αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ
φυγῆς, ὡμολόγει τοὺς γάμους καὶ διεκλήρου τὰς κόρας.
2 Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλον Λυγκεῖ
καὶ Γοργοφόνην Πρωτεῖ· οὗτοι γὰρ ἐκ βασιλίδος γυ-
3 ναικὸς Ἀργυφίης ἐγεγόνεισαν Αἰγύπτῳ. τῶν δὲ λοιπῶν
ἔλαχον Βούσιρις μὲν καὶ Ἐγκέλαδος καὶ Λύκος καὶ Δαΐ-
φρων τὰς Δαναῷ γεννηθείσας ἐξ Εὐρώπης Αὐτομάτην
Ἀμυμώνην Ἀγαυὴν Σκαιήν. αὗται δὲ ἐκ βασιλίδος ἐγέ-
νοντο Δαναῷ, ἐκ δὲ Ἐλεφαντίδος Γοργοφόνη καὶ Ὑπερ-
4 μνήστρα. Λυγκεὺς δὲ Καλύκην ἔλαχεν, Ἴστρος δὲ Ἱπ-

ποδάμειαν, Χαλκώδων Ῥοδίαν, Ἀγήνωρ Κλεοπάτραν,
Χαῖτος Ἀστερίαν, Διοκορυστὴς Ἱπποδάμειαν, Ἄλκις
Γλαύκην, Ἀλκμήνωρ Ἱππομέδουσαν, Ἱππόθοος Γόργην,
Εὐχήνωρ Ἰφιμέδουσαν, Ἱππόλυτος Ῥόδην. οὗτοι μὲν οἱ
δέκα ἐξ Ἀραβίας γυναικός, αἱ δὲ παρθένοι ἐξ ἁμαδρυά-
δων νυμφῶν, αἳ μὲν Ἀτλαντείης, αἳ δὲ [ἐκ] Φοίβης.
Ἀγαπτόλεμος δὲ ἔλαχε Πειρήνην, Κερκέστης δὲ Δώριον, 5
Εὐρυδάμας Φάρτην, Αἴγιος Μνήστραν, Ἄργιος Εὐίπ-
πην, Ἀρχέλαος Ἀνεξιβίην, Μέναχος Νηλώ, οἱ μὲν ἑπτὰ
ἐκ Φοινίσσης γυναικός, αἱ δὲ παρθένοι Αἰθιοπίδος.
ἀκληρωτὶ δὲ ἔλαχον δι' ὁμωνυμίαν τὰς Μέμφιδος οἱ ἐκ 6
Τυρίας, Κλειτὸς Κλειτήν, Σθένελος Σθενέλην, Χρύ-
σιππος Χρυσίππην. οἱ δὲ ἐκ Καλιάδνης νύμφης νηίδος 7
παῖδες δώδεκα ἐκληρώσαντο περὶ τῶν ἐκ Πολυξοῦς νηί-
δος· ἦσαν δὲ οἱ μὲν παῖδες Εὐρύλοχος Φάντης Περισθέ-
νης Ἕρμος Δρύας Ποταμὼν Κισσεὺς Λίξος Ἴμβρος Βρο-
τίος Πολύκτωρ Χθονίος, αἱ δὲ κόραι Αὐτονόη Θεανὼ
Ἠλέκτρα Κλεοπάτρα Εὐρυδίκη Γλαυκίππη Ἀνθήλεια
Κλεοδώρη Εὐίππη Εὐρωτὼ Στύγνη καὶ Βρύκη. οἱ δὲ ἐκ 8
Γοργόνων Αἰγύπτῳ γενόμενοι ἐκληρώσαντο περὶ τῶν ἐκ
Πιερείας, καὶ λαγχάνει Περίφας μὲν Ἀκταίην, Οἰνεὺς
Ποδάρκην, Αἴγυπτος Διωξίππην, Μενάλκης δὲ Ἀδύ-
την, Λάμπος Ὠκυπέτην, Πυλάργην Ἴδμων. ὀκτὼ δὲ οἱ 9
νεώτατοι, Ἴδας Ἱπποδίκην, Δαΐφρων Ἀδιάντην (αὗται
δὲ ἐκ μητρὸς ἐγένοντο Ἕρσης), Πανδίων Καλλιδίκην,
Ἄρβηλος Οἴμην, Ὑπέρβιος Κελαινώ, Ἱπποκορυστὴς
Ὑπερίππην· οὗτοι ἐξ Ἡφαιστίνης, αἳ δὲ ἐκ Κρινοῦς.
ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια 10
δίδωσι ταῖς θυγατράσιν. αἳ δὲ κοιμωμένους τοὺς νυμ-
φίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας. αὕτη δὲ Λυγκέα
διέσωσε παρθένον αὐτὴν φυλάξαντα· διὸ καθείρξας
αὐτὴν Δαναὸς ἐφρούρει. αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυ- 11

γατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ
κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν.
καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύ-
12 σαντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ
συνῴκισε, τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα
τοῖς νικῶσιν ἔδωκεν.
13 Ἀμυμώνη δὲ ἐκ Ποσειδῶνος ἐγέννησε Ναύπλιον.
οὗτος μακρόβιος γενόμενος, πλέων τὴν θάλασσαν, τοῖς
ἐμπίπτουσιν ἐπὶ θανάτῳ ἐδυσφόρει. συνέβη οὖν καὶ
αὐτὸν τελευτῆσαι ἐκείνῳ τῷ θανάτῳ ᾧπερ ἄλλων τε-
14 λευτησάντων ἐδυσφόρει. πρὶν δὲ τελευτῆσαι, ἔγημεν,
ὡς μὲν οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως,
ὡς δὲ ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ,
Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην Οἴακα Ναυσιμέ-
δοντα.
2 Λυγκεὺς δὲ μετὰ Δαναὸν Ἄργους δυναστεύων ἐξ
Ὑπερμνήστρας τεκνοῖ παῖδα Ἄβαντα. τούτου δὲ καὶ
Ἀγλαΐας τῆς Μαντινέως δίδυμοι παῖδες ἐγένοντο Ἀκρί-
2 σιος καὶ Προῖτος. οὗτοι καὶ κατὰ γαστρὸς μὲν ἔτι ὄντες
ἐστασίαζον πρὸς ἀλλήλους, ὡς δὲ ἀνετράφησαν, περὶ
τῆς βασιλείας ἐπολέμουν, καὶ πολεμοῦντες εὗρον ἀσπί-
δας πρῶτοι. καὶ κρατήσας Ἀκρίσιος Προῖτον Ἄργους
3 ἐξελαύνει. ὃ δὲ ἧκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δέ
τινές φασι, πρὸς Ἀμφιάνακτα· καὶ γαμεῖ τὴν τούτου
θυγατέρα, ὡς μὲν Ὅμηρος, Ἄντειαν, ὡς δὲ οἱ τραγι-
κοί, Σθενέβοιαν. κατάγει δὲ αὐτὸν ὁ κηδεστὴς μετὰ
στρατοῦ Λυκίων, καὶ καταλαμβάνει Τίρυνθα, ταύτην
4 αὐτῷ Κυκλώπων τειχισάντων. μερισάμενοι δὲ τὴν Ἀρ-
γείαν ἅπασαν κατῴκουν, καὶ Ἀκρίσιος μὲν Ἄργους βα-
2 σιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν
ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ
2 Σθενεβοίας Λυσίππη καὶ Ἰφιάνασσα. αὗται δὲ ὡς ἐτε-

λειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς
Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς δὲ Ἀκουσίλαος
λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν. γενόμε- 8
ναι δὲ ἐμμανεῖς ἐπλανῶντο ἀνὰ τὴν Ἀργείαν ἅπασαν,
αὖθις δὲ τὴν Ἀρκαδίαν καὶ τὴν Πελοπόννησον διελθοῦ-
σαι μετ' ἀκοσμίας ἁπάσης διὰ τῆς ἐρημίας ἐτρόχαζον.
Μελάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαν- 4
τος, μάντις ὢν καὶ τὴν διὰ φαρμάκων καὶ καθαρμῶν
θεραπείαν πρῶτος εὑρηκώς, ὑπισχνεῖται θεραπεύσειν
τὰς παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας.
οὐκ ἐπιτρέποντος δὲ Προίτου θεραπεύειν ἐπὶ μισθοῖς 5
τηλικούτοις, ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι καὶ προσ-
έτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες· καὶ γὰρ αὗται τὰς
οἰκίας ἀπολιποῦσαι τοὺς ἰδίους ἀπώλλυον παῖδας καὶ εἰς
τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπὶ πλεῖστον 6
τῆς συμφορᾶς, τοὺς αἰτηθέντας μισθοὺς ὁ Προῖτος ἐδί-
δου. ὃ δὲ ὑπέσχετο θεραπεύσειν ὅταν ἕτερον τοσοῦτον
τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖτος δὲ εὐλα-
βηθεὶς μὴ βραδυνούσης τῆς θεραπείας αἰτηθείη καὶ
πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις. Μελάμ- 7
πους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν νεανιῶν
μετ' ἀλαλαγμοῦ καί τινος ἐνθέου χορείας ἐκ τῶν ὀρῶν
αὐτὰς ἐς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν διωγμὸν ἡ 8
πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλλαξεν· ταῖς
δὲ λοιπαῖς τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη.
καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι καὶ Βίαντι,
παῖδα δὲ ὕστερον ἐγέννησε Μεγαπένθην.
Βελλεροφόντης δὲ ὁ Γλαύκου τοῦ Σισύφου, κτείνας 3
ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δέ τινές φασι Πειρῆνα,
ἄλλοι δὲ Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται.
καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει, καὶ προσπέμπει λό-
γους περὶ συνουσίας. τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς 2

Προῖτον ὅτι Βελλεροφόντης αὐτῇ περὶ φθορᾶς προσ-
επέμψατο λόγους. Προῖτος δὲ πιστεύσας ἔδωκεν ἐπιστολὰς
αὐτῷ πρὸς Ἰοβάτην κομίζειν, ἐν αἷς ἐνεγέγραπτο Βελ-
3 λεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἐπιγνοὺς ἐπέταξεν
αὐτῷ Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου
διαφθαρήσεσθαι· ἦν γὰρ οὐ μόνον ἑνὶ ἀλλὰ πολλοῖς
οὐκ εὐάλωτον, εἶχε δὲ προτομὴν μὲν λέοντος, οὐρὰν δὲ
δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην αἰγός, δι' ἧς πῦρ
4 ἀνίει. καὶ τὴν χώραν διέφθειρε, καὶ τὰ βοσκήματα ἐλυ-
μαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δύναμιν.
λέγεται δὲ καὶ τὴν Χίμαιραν ταύτην τραφῆναι μὲν ὑπὸ
Ἀμισωδάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γεννηθῆναι
δὲ ἐκ Τυφῶνος καὶ Ἐχίδνης, καθὼς Ἡσίοδος ἱστορεῖ.
2 ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πή-
γασον, ὃν εἶχεν ἵππον ἐκ Μεδούσης πτηνὸν γεγεννημέ-
νον καὶ Ποσειδῶνος, ἀρθεὶς εἰς ὕψος ἀπὸ τούτου κατ-
2 ετόξευσε τὴν Χίμαιραν. μετὰ δὲ τὸν ἀγῶνα τοῦτον ἐπέ-
ταξεν αὐτῷ Σολύμοις μαχέσασθαι. ὡς δὲ ἐτελεύτησε καὶ
τοῦτον, Ἀμαζόσιν ἐπέταξεν ἀγωνίζεσθαι αὐτόν. ὡς δὲ
καὶ ταύτας ἀπέκτεινε, τοὺς γενναιότητι Λυκίων διαφέ-
ρειν δοκοῦντας ἐπιλέξας ἐπέταξεν ἀποκτεῖναι λοχήσαν-
3 τας. ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας
τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης τά τε γράμματα ἔδειξε
καὶ παρ' αὐτῷ μένειν ἠξίωσε, δοὺς τὴν θυγατέρα Φυ-
λονόην, καὶ θνήσκων τὴν βασιλείαν κατέλιπεν αὐτῷ.
4 Ἀκρισίῳ δὲ περὶ παίδων γενέσεως ἀρρένων χρηστη-
ριαζομένῳ ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρός,
ὃς αὐτὸν ἀποκτείνῃ. δείσας οὖν Ἀκρίσιος τοῦτο, ὑπὸ
γῆν θάλαμον κατασκευάσας χάλκεον τὴν Δανάην ἐφρου-
2 ρεῖ. ταύτην μέν, ὡς ἔνιοι λέγουσιν, ἔφθειρε Προῖτος,
ὅθεν αὐτοῖς καὶ ἡ στάσις ἐκινήθη· ὡς δὲ ἔνιοί φασι,
Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰς

τοὺς Δανάης εἰσρυεὶς κόλπους συνῆλθεν. αἰσθόμενος 3
δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ
πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγατέρα μετὰ τοῦ
παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς θάλασσαν. προσ-
ενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ Δίκτυς ἄρας ἀν-
έτρεφε τοῦτον. βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης 2
ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθείς, καὶ ἠνδρωμένου
Περσέως μὴ δυνάμενος αὐτῇ συνελθεῖν, συνεκάλει τοὺς
φίλους, μεθ' ὧν καὶ Περσέα, λέγων ἔρανον συνάγειν
ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γάμους. τοῦ δὲ Περ- 2
σέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργόνος οὐκ
ἀντερεῖν, παρὰ μὲν τῶν λοιπῶν ᾔτησεν ἵππους, παρὰ
δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους ἐπέταξε τῆς Γορ-
γόνος κομίζειν τὴν κεφαλήν. ὃ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς 3
προκαθηγουμένων ἐπὶ τὰς Φόρκου γίνεται θυγατέρας,
Ἐνυὼ Πεφρηδὼ [καὶ] Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε
καὶ Φόρκου, Γοργόνων ἀδελφαί, γραῖαι ἐκ γενετῆς. ἕνα
τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα
παρὰ μέρος ἤμειβον ἀλλήλαις. ὧν κυριεύσας ὁ Περσεύς, 4
ὡς ἀπῄτουν, ἔφη δώσειν ἂν ὑφηγήσωνται τὴν ὁδὸν
τὴν ἐπὶ τὰς νύμφας φέρουσαν. αὗται δὲ αἱ νύμφαι πτηνὰ
εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν·*)
εἶχον δὲ καὶ τὴν κυνῆν. ὑφηγησαμένων δὲ τῶν Φορκί- 5
δων, ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς,
καὶ παραγενόμενος πρὸς τὰς νύμφας, καὶ τυχὼν ὧν
ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα
τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπ-

---

*) Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως
πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου
Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε.
εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.

6 ἔθετο. ταύτην ἔχων αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ
ἄλλων δὲ οὐχ ἑωρᾶτο. λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδα-
μαντίνην ἅρπην, πετόμενος εἰς τὸν Ὠκεανὸν ἧκε καὶ
7 κατέλαβε τὰς Γοργόνας κοιμωμένας. ἦσαν δὲ αὗται
Σθενὼ Εὐρυάλη Μέδουσα. μόνη δὲ ἦν θνητὴ Μέδουσα·
διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη.
εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας φο-
λίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ χεῖ-
ρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς, δι' ὧν ἐπέτοντο. τοὺς
8 δὲ ἰδόντας λίθους ἐποίουν. ἐπιστὰς οὖν αὐταῖς ὁ Περ-
σεὺς κοιμωμέναις, κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς,
ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς
τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν.
9 ἀποτμηθείσης δὲ τῆς κεφαλῆς, ἐκ τῆς Γοργόνος ἐξέθορε
Πήγασος πτηνὸς ἵππος, καὶ Χρυσάωρ ὁ Γηρυόνου πα-
3 τήρ· τούτους δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος. ὁ μὲν οὖν
Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς
Μεδούσης ὀπίσω πάλιν ἐχώρει, αἱ δὲ Γοργόνες ἐκ τῆς
κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον, καὶ συνιδεῖν αὐ-
τὸν οὐκ ἐδύναντο διὰ τὴν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ'
2 αὐτῆς. παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε
Κηφεύς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρα-
κειμένην βορὰν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ Κη-
φέως γυνὴ Νηρηίσιν ἤρισε περὶ κάλλους, καὶ πασῶν
εἶναι κρείσσων ηὔχησεν· ὅθεν αἱ Νηρηίδες ἐμήνισαν,
καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλήμυράν τε ἐπὶ τὴν
3 χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος τὴν
ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ
Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο ἀναγκασθεὶς
ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε, καὶ προσέδησε τὴν
4 θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος ὁ Περσεὺς καὶ
ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο Κηφεῖ τὸ κῆτος, εἰ μέλλει

σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν γυναῖκα. ἐπὶ τούτοις γε-
νομένων ὅρκων, ὑποστὰς τὸ κῆτος ἔκτεινε καὶ τὴν Ἀν-
δρομέδαν ἔλυσεν. ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς 5
ἦν ἀδελφὸς τοῦ Κηφέως ἐγγυώμενος πρῶτος τὴν Ἀν-
δρομέδαν, μαθὼν τὴν ἐπιβουλήν, τὴν Γοργόνα δείξας
μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἐλίθωσε παρα-
χρῆμα. παραγενόμενος δὲ εἰς Σέριφον, καὶ καταλαβὼν 6
πρασπεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μη-
τέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὰ βασί-
λεια, συγκαλέσαντος τοῦ Πολυδέκτου τοὺς φίλους ἀπ-
εστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε· τῶν δὲ
ἰδόντων, ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων, ἀπελιθώθη.
καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα, ἀπέδωκε 7
τὰ μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν
δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ
προειρημένα πάλιν ἀπέδωκε ταῖς νύμφαις, Ἀθηνᾶ δὲ ἐν
μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκε. λέ- 8
γεται δὲ ὑπ' ἐνίων ὅτι καὶ δι' Ἀθηνᾶν ἡ Μέδουσα ἐκα-
ρατομήθη· φασὶ δὲ ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ
Γοργὼ αὐτῇ συγκριθῆναι.

Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν 4
εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. ὃ δὲ δεδοικὼς τὸν
χρησμόν, ἀπολιπὼν Ἄργος εἰς τὴν Πελασγιῶτιν ἐχώ-
ρησε γῆν. Τευταμίου δὲ τοῦ Λαρισαίων βασιλέως ἐπὶ 2
κατοιχομένῳ τῷ πατρὶ διατιθέντος γυμνικὸν ἀγῶνα,
παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων, ἀγωνι-
ζόμενος δὲ πένταθλον, τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου
πόδα βαλὼν παραχρῆμα ἀπέκτεινεν αὐτόν. αἰσθόμενος 3
δὲ τὸν χρησμὸν τετελεσμένον τὸν μὲν Ἀκρίσιον ἔξω τῆς
πόλεως ἔθαψεν, αἰσχυνόμενος δὲ εἰς Ἄργος ἐπανελθεῖν
ἐπὶ τὸν κλῆρον τοῦ δι' αὐτοῦ τετελευτηκότος, παραγε-
νόμενος εἰς Τίρυνθα πρὸς τὸν Προίτου παῖδα Μεγαπέν-

4 θην ἠλλάξατο, τούτῳ τε τὸ Ἄργος ἐνεχείρισε. καὶ Με-
γαπένθης μὲν ἐβασίλευσεν Ἀργείων, Περσεὺς δὲ Τί-
5 ρυνθος, προστειχίσας Μίδειαν καὶ Μυκήνας. ἐγένοντο
δὲ ἐξ Ἀνδρομέδας παῖδες αὐτῷ, πρὶν μὲν ἐλθεῖν εἰς τὴν
Ἑλλάδα Πέρσης, ὃν παρὰ Κηφεῖ κατέλιπεν (ἀπὸ τούτου
δὲ τοὺς Περσῶν βασιλέας λέγεται γενέσθαι), ἐν Μυκή-
ναις δὲ Ἀλκαῖος καὶ Σθένελος καὶ Ἕλειος Μήστωρ τε
καὶ Ἠλεκτρύων, καὶ θυγάτηρ Γοργοφόνη, ἣν Περιήρης
ἔγημεν.

2 ἐκ μὲν οὖν Ἀλκαίου καὶ Ἀστυδαμείας τῆς Πέλοπος,
ὡς δὲ ἔνιοι λέγουσι Λαονόμης τῆς Γουνέως, ὡς δὲ ἄλλοι
πάλιν Ἱππονόμης τῆς Μενοικέως, Ἀμφιτρύων ἐγένετο
καὶ θυγάτηρ Ἀναξώ, ἐκ δὲ Μήστορος καὶ Λυσιδίκης
τῆς Πέλοπος Ἱπποθόη. ταύτην ἁρπάσας Ποσειδῶν καὶ
κομίσας ἐπὶ τὰς Ἐχινάδας νήσους μίγνυται, καὶ γεννᾷ
Τάφιον, ὃς ᾤκισε Τάφον καὶ τοὺς λαοὺς Τηλεβόας ἐκά-
3 λεσεν, ὅτι τηλοῦ τῆς πατρίδος ἔβη. ἐκ Ταφίου δὲ παῖς
Πτερέλαος ἐγένετο· τοῦτον ἀθάνατον ἐποίησε Ποσει-
δῶν, ἐν τῇ κεφαλῇ χρυσῆν ἐνθεὶς τρίχα. Πτερελάῳ δὲ
ἐγένοντο παῖδες Χρομίος Τύραννος Ἀντίοχος Χερσιδά-
μας Μήστωρ Εὐήρης.

4 Ἠλεκτρύων δὲ γήμας τὴν Ἀλκαίου θυγατέρα Ἀναξώ,
ἐγέννησε θυγατέρα μὲν Ἀλκμήνην, παῖδας δὲ Γοργοφό-
νον Φιλονόμον Κελαινέα Ἀμφίμαχον Λυσίνομον Χει-
ρίμαχον Ἀνάκτορα Ἀρχέλαον, μετὰ δὲ τούτους καὶ νό-
θον ἐκ Φρυγίας γυναικὸς Μιδείας Λικύμνιον.

5 Σθενέλου δὲ καὶ Νικίππης τῆς Πέλοπος Ἀλκυόνη
καὶ Μέδουσα, ὕστερον δὲ καὶ Εὐρυσθεὺς ἐγένετο, ὃς
καὶ Μυκηνῶν ἐβασίλευσεν. ὅτε γὰρ Ἡρακλῆς ἔμελλε
γεννᾶσθαι, Ζεὺς ἐν θεοῖς ἔφη τὸν ἀπὸ Περσέως γεννη-
θησόμενον τότε βασιλεύσειν Μυκηνῶν, Ἥρα δὲ διὰ τὸν
ζῆλον Εἰλείθυιαν ἔπεισε τὸν μὲν Ἀλκμήνης τόκον ἐπι-

σχεῖν, Εὐρυσθέα δὲ τὸν Σθενέλου παρεσκεύασε γεννη-
θῆναι ἑπταμηνιαῖον ὄντα.

Ἠλεκτρύονος δὲ βασιλεύοντος Μυκηνῶν, μετὰ Τα- 6
φίου οἱ Πτερελάου παῖδες ἐλθόντες τὴν Μήστορος ἀρ-
χὴν τοῦ μητροπάτορος ἀπῄτουν, καὶ μὴ προσέχοντος
Ἠλεκτρύονος ἀπήλαυνον τὰς βόας· ἀμυνομένων δὲ τῶν
Ἠλεκτρύονος παίδων, ἐκ προκλήσεως ἀλλήλους ἀπέκτει-
ναν. ἐσώθη δὲ τῶν Ἠλεκτρύονος παίδων Λικύμνιος ἔτι 2
νέος ὑπάρχων, τῶν δὲ Πτερελάου Εὐήρης, ὃς καὶ τὰς
ναῦς ἐφύλασσε. τῶν δὲ Ταφίων οἱ διαφυγόντες ἀπ-
έπλευσαν τὰς ἐλαθείσας βόας ἑλόντες, καὶ παρέθεντο
τῷ βασιλεῖ τῶν Ἠλείων Πολυξένῳ· Ἀμφιτρύων δὲ παρὰ
Πολυξένου λυτρωσάμενος αὐτὰς ἤγαγεν εἰς Μυκήνας.
ὁ δὲ Ἠλεκτρύων τὸν τῶν παίδων θάνατον βουλόμενος 3
ἐκδικῆσαι, παραδοὺς τὴν βασιλείαν Ἀμφιτρύωνι καὶ τὴν
θυγατέρα Ἀλκμήνην, ἐξορκίσας ἵνα μέχρι τῆς ἐπανόδου
παρθένον αὐτὴν φυλάξῃ, στρατεύειν ἐπὶ Τηλεβόας δι-
ενοεῖτο. ἀπολαμβάνοντος δὲ αὐτοῦ τὰς βόας, μιᾶς ἐκ- 4
θορούσης Ἀμφιτρύων ἐπ' αὐτὴν ἀφῆκεν ὃ μετὰ χεῖρας
εἶχε ῥόπαλον, τὸ δὲ ἀποκρουσθὲν ἀπὸ τῶν κεράτων εἰς
τὴν Ἠλεκτρύονος κεφαλὴν ἐλθὸν ἀπέκτεινεν αὐτόν.
ὅθεν λαβὼν ταύτην τὴν πρόφασιν Σθένελος παντὸς 5
Ἄργους ἐξέβαλεν Ἀμφιτρύωνα, καὶ τὴν ἀρχὴν τῶν Μυ-
κηνῶν καὶ τῆς Τίρυνθος αὐτὸς κατέσχε· τὴν δὲ Μί-
δειαν, μεταπεμψάμενος τοὺς Πέλοπος παῖδας Ἀτρέα καὶ
Θυέστην, παρέθετο τούτοις.

Ἀμφιτρύων δὲ σὺν Ἀλκμήνῃ καὶ Λικυμνίῳ παρα- 6
γενόμενος ἐπὶ Θήβας ὑπὸ Κρέοντος ἡγνίσθη, καὶ δίδωσι
τὴν ἀδελφὴν Περιμήδην Λικυμνίῳ. λεγούσης δὲ Ἀλκμή-
νης γαμηθήσεσθαι τῷ τῶν ἀδελφῶν αὐτῆς ἐκδικήσαντι
τὸν θάνατον, ὑποσχόμενος ἐπὶ Τηλεβόας στρατεύει Ἀμ-
φιτρύων, καὶ παρεκάλει συλλαβέσθαι Κρέοντα. ὃ δὲ 7

ἔφη στρατεύσειν, ἐὰν πρότερον ἐκεῖνος τὴν Καδμείαν
τῆς ἀλώπεκος ἀπαλλάξῃ· ἔφθειρε γὰρ τὴν Καδμείαν
ἀλώπηξ θηρίον. ὑποστάντος δέ, ὅμως εἱμαρμένον ἦν
7 αὐτὴν μηδέ τινα καταλαβεῖν. ἀδικουμένης δὲ τῆς χώ-
ρας, ἕνα τῶν ἀστῶν παῖδα οἱ Θηβαῖοι κατὰ μῆνα προ-
ετίθεσαν αὐτῇ, πολλοὺς ἁρπαξούσῃ, τοῦτο εἰ μὴ γένοιτο.
2 ἀπαλλαγεὶς οὖν Ἀμφιτρύων εἰς Ἀθήνας πρὸς Κέφαλον
τὸν Δηιονέως, συνέπειθεν, ἐπὶ μέρει τῶν ἀπὸ Τηλε-
βοῶν λαφύρων, ἄγειν ἐπὶ τὴν θήραν τὸν κύνα ὃν Πρό-
κρις ἤγαγεν ἐκ Κρήτης παρὰ Μίνωος λαβοῦσα· ἦν δὲ
καὶ τούτῳ πεπρωμένον πᾶν, ὅ τι ἂν διώκῃ, λαμβάνειν.
διωκομένης οὖν ὑπὸ τοῦ κυνὸς τῆς ἀλώπεκος, Ζεὺς ἀμ-
3 φοτέρους λίθους ἐποίησεν. Ἀμφιτρύων δὲ ἔχων ἐκ μὲν
Θορικοῦ τῆς Ἀττικῆς Κέφαλον συμμαχοῦντα, ἐκ δὲ Φω-
κέων Πανοπέα, ἐκ δὲ Ἕλους τῆς Ἀργείας Ἕλειον τὸν
Περσέως, ἐκ δὲ Θηβῶν Κρέοντα, τὰς τῶν Ταφίων νή-
4 σους ἐπόρθει. ἄχρι μὲν οὖν ἔζη Πτερέλαος, οὐκ ἐδύνατο
τὴν Τάφον ἑλεῖν· ὡς δὲ ἡ Πτερελάου θυγάτηρ Κομαιθὼ
ἐρασθεῖσα Ἀμφιτρύωνος τὴν χρυσῆν τρίχα τοῦ πατρὸς
ἐκ τῆς κεφαλῆς ἐξείλετο, Πτερελάου τελευτήσαντος ἐχει-
5 ρώσατο τὰς νήσους ἁπάσας. τὴν μὲν οὖν Κομαιθὼ κτεί-
νας Ἀμφιτρύων καὶ τὴν λείαν ἔχων εἰς Θήβας ἔπλει,
καὶ τὰς νήσους Ἑλείῳ καὶ Κεφάλῳ δίδωσι. κἀκεῖνοι
πόλεις αὑτῶν ἐπωνύμους κτίσαντες κατῴκησαν.

8 πρὸ τοῦ δὲ Ἀμφιτρύωνα παραγενέσθαι εἰς Θήβας,
Ζεὺς διὰ νυκτὸς ἐλθὼν καὶ τὴν μίαν τριπλασιάσας νύ-
κτα, ὅμοιος Ἀμφιτρύωνι γενόμενος Ἀλκμήνῃ συνευνά-
2 σθη καὶ τὰ γενόμενα περὶ Τηλεβοῶν διηγήσατο. Ἀμφι-
τρύων δὲ παραγενόμενος ὡς οὐχ ἑώρα φιλοφρονουμέ-
νην πρὸς αὐτὸν τὴν γυναῖκα, ἐπυνθάνετο τὴν αἰτίαν·
εἰπούσης δὲ ὅτι τῇ προτέρᾳ νυκτὶ παραγενόμενος αὐτῇ
συγκεκοίμηται, μανθάνει παρὰ Τειρεσίου τὴν γενομένην

τοῦ Διὸς συνουσίαν. Ἀλκμήνη δὲ δύο ἐγέννησε παῖδας, 8
Διὶ μὲν Ἡρακλέα, μιᾷ νυκτὶ πρεσβύτερον, Ἀμφιτρύωνι
δὲ Ἰφικλέα. τοῦ δὲ παιδὸς ὄντος ὀκταμηνιαίου δύο δρά-
κοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἔπεμψε, δια-
φθαρῆναι τὸ βρέφος θέλουσα. ἐπιβοωμένης δὲ Ἀλκμή-
νης Ἀμφιτρύωνα, Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις
ταῖς χερσὶν αὐτοὺς διέφθειρε. Φερεκύδης δέ φησιν 4
Ἀμφιτρύωνα, βουλόμενον μαθεῖν ὁπότερος ἦν τῶν παί-
δων ἐκείνου, τοὺς δράκοντας εἰς τὴν εὐνὴν ἐμβαλεῖν,
καὶ τοῦ μὲν Ἰφικλέους φυγόντος τοῦ δὲ Ἡρακλέους
ὑποστάντος μαθεῖν ὡς Ἰφικλῆς ἐξ αὐτοῦ γεγέννηται.

ἐδιδάχθη δὲ Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφι- 9
τρύωνος, παλαίειν δὲ ὑπὸ Αὐτολύκου, τοξεύειν δὲ ὑπὸ
Εὐρύτου, ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος, κιθαρῳδεῖν δὲ
ὑπὸ Λίνου. οὗτος δὲ ἦν ἀδελφὸς Ὀρφέως, ἀφικόμενος 2
δὲ εἰς Θήβας καὶ Θηβαῖος γενόμενος ὑπὸ Ἡρακλέους τῇ
κιθάρᾳ πληγεὶς ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν ὀρ-
γισθεὶς ἀπέκτεινε. δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ
φόνου, παρανέγνω νόμον Ῥαδαμάνθυος λέγοντος, ὃς ἂν
ἀμύνηται τὸν χειρῶν ἀδίκων ἄρξαντα, ἀθῷον εἶναι, καὶ
οὕτως ἀπελύθη. δείσας δὲ Ἀμφιτρύων μὴ πάλιν τι ποι- 3
ήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βουφόρβια. κἀκεῖ
τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διήνεγκεν.
ἦν δὲ καὶ θεωρηθεὶς φανερὸς ὅτι Διὸς παῖς ἦν· τετρα- 4
πηχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς δὲ ἐξ ὀμμάτων
ἔλαμπεν αἴγλην. οὐκ ἠστόχει δὲ οὔτε τοξεύων οὔτε
ἀκοντίζων.

ἐν δὲ τοῖς βουκολίοις ὑπάρχων ὀκτωκαιδεκαέτης τὸν 5
Κιθαιρώνειον ἀνεῖλε λέοντα. οὗτος ὁρμώμενος ἐκ τοῦ
Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βόας καὶ τὰς
Θεσπίου. βασιλεὺς δὲ ἦν οὗτος Θεσπιῶν, πρὸς ὃν ἀφί- 10
κετο Ἡρακλῆς ἑλεῖν βουλόμενος τὸν λέοντα. ὃ δὲ αὐτὸν

ἐξένισε πεντήκοντα ἡμέρας, καὶ ἐπὶ τὴν θήραν ἐξιόντι
νυκτὸς ἑκάστης μίαν συνεύναζε θυγατέρα (πεντήκοντα
δὲ αὐτῷ ἦσαν ἐκ Μεγαμήδης γεγεννημέναι τῆς Ἀρ-
2 νέου)· ἐσπούδαζε γὰρ πάσας ἐξ Ἡρακλέους τεκνοποι-
ήσασθαι. Ἡρακλῆς δὲ μίαν νομίζων εἶναι τὴν ἀεὶ συν-
ευναζομένην, συνῆλθε πάσαις. καὶ χειρωσάμενος τὸν
λέοντα τὴν μὲν δορὰν ἠμφιάσατο, τῷ χάσματι δὲ ἐχρή-
σατο κόρυθι.

11 ἀνακάμπτοντι δὲ αὐτῷ ἀπὸ τῆς θήρας συνήντησαν
κήρυκες παρὰ Ἐργίνου πεμφθέντες, ἵνα παρὰ Θηβαίων
τὸν δασμὸν λάβωσιν. ἐτέλουν δὲ οἱ Θηβαῖοι τὸν δασμὸν
2 Ἐργίνῳ δι' αἰτίαν τήνδε. Κλύμενον τὸν Μινυῶν βα-
σιλέα λίθῳ βαλὼν Μενοικέως ἡνίοχος, ὄνομα Περιήρης,
ἐν Ὀγχηστῷ, Ποσειδῶνος τεμένει, τιτρώσκει· ὃ δὲ κο-
μισθεὶς εἰς Ὀρχομενὸν ἡμιθνὴς ἐπισκήπτει τελευτῶν
3 Ἐργίνῳ τῷ παιδὶ ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ. στρα-
τευσάμενος δὲ Ἐργῖνος ἐπὶ Θήβας, κτείνας οὐκ ὀλίγους
ἐσπείσατο μεθ' ὅρκων, ὅπως πέμπωσιν αὐτῷ Θηβαῖοι
δασμὸν ἐπὶ εἴκοσιν ἔτη, κατὰ ἔτος ἑκατὸν βόας. ἐπὶ τοῦ-
τον τὸν δασμὸν εἰς Θήβας τοὺς κήρυκας ἀπιόντας συν-
4 τυχὼν Ἡρακλῆς ἐλωβήσατο· ἀποταμὼν γὰρ αὐτῶν τὰ
ὦτα καὶ τὰς ῥῖνας, καὶ διὰ σχοινίων τὰς χεῖρας δήσας
ἐκ τῶν τραχήλων, ἔφη τοῦτον Ἐργίνῳ καὶ Μινύαις
δασμὸν κομίζειν. ἐφ' οἷς ἀγανακτῶν ἐστράτευσεν ἐπὶ
5 Θήβας. Ἡρακλῆς δὲ λαβὼν ὅπλα παρ' Ἀθηνᾶς καὶ πο-
λεμαρχῶν Ἐργῖνον μὲν ἔκτεινε, τοὺς δὲ Μινύας ἐτρέ-
ψατο καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε Θεβαίοις φέ-
ρειν. συνέβη δὲ κατὰ τὴν μάχην Ἀμφιτρύωνα γενναίως
6 μαχόμενον τελευτῆσαι. λαμβάνει δὲ Ἡρακλῆς παρὰ
Κρέοντος ἀριστεῖον τὴν πρεσβυτάτην θυγατέρα Μεγά-
ραν, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρίμαχος Κρε-
οντιάδης Δηικόων. τὴν δὲ νεωτέραν θυγατέρα Κρέων

Ἰφίκλῳ δίδωσιν, ἤδη παῖδα Ἰόλαον ἔχοντι ἐξ Αὐτομε-
δούσης τῆς Ἀλκάθου. ἔγημε δὲ καὶ Ἀλκμήνην μετὰ τὸν 7
Ἀμφιτρύωνος θάνατον Διὸς παῖς Ῥαδάμανθυν, κατ-
ῴκει δὲ ἐν Ὠκαλείᾳ τῆς Βοιωτίας πεφευγώς.
προμαθὼν δὲ παρ' Εὐρύτου τὴν τοξικὴν Ἡρακλῆς 8
ἔλαβε παρὰ Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα,
παρὰ δὲ Ἡφαίστου θώρακα χρυσοῦν, παρὰ δὲ Ἀθηνᾶς
πέπλον· ῥόπαλον μὲν γὰρ αὐτὸς ἔτεμεν ἐκ Νεμέας.

μετὰ δὲ τὴν πρὸς Μινύας αὐτῷ μάχην συνέβη κατὰ 12
ζῆλον Ἥρας μανῆναι, καὶ τούς τε ἰδίους παῖδας, οὓς ἐκ
Μεγάρας εἶχεν, εἰς πῦρ ἐμβαλεῖν καὶ τῶν Ἰφίκλου δύο·
διὸ καταδικάσας ἑαυτοῦ φυγὴν καθαίρεται μὲν ὑπὸ Θε-
σπίου, παραγενόμενος δὲ εἰς Δελφοὺς πυνθάνεται τοῦ 2
θεοῦ ποῦ κατοικήσῃ. ἡ δὲ Πυθία τότε πρῶτον Ἡρακλέα
αὐτὸν προσηγόρευσε· τὸ δὲ πρὸ τοῦ Ἀλκείδης προσηγο-
ρεύετο. κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν Τίρυνθι, Εὐρυ-
σθεῖ λατρεύοντα ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους
ἄθλους δέκα ἐπιτελεῖν, καὶ οὕτως ἔφη, τῶν ἄθλων συν-
τελεσθέντων, ἀθάνατον αὐτὸν ἔσεσθαι.

τοῦτο ἀκούσας ὁ Ἡρακλῆς εἰς Τίρυνθα ἦλθε, καὶ τὸ 5
προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει. πρῶτον μὲν οὖν
ἐπέταξεν αὐτῷ τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν·
τοῦτο δὲ ζῷον ἦν ἄτρωτον, ἐκ Τυφῶνος γεγεννημένον.
πορευόμενος οὖν ἐπὶ τὸν λέοντα ἦλθεν εἰς Κλεωνάς,
καὶ ξενίζεται παρ' ἀνδρὶ χερνήτῃ Μολόρχῳ. καὶ θύειν 2
ἱερεῖον θέλοντι εἰς ἡμέραν ἔφη τηρεῖν τριακοστήν, καὶ
ἂν μὲν ἀπὸ τῆς θήρας σῶος ἐπανέλθῃ, Διὶ σωτῆρι θύειν,
ἐὰν δὲ ἀποθάνῃ, τότε ὡς ἥρωι ἐναγίζειν. εἰς δὲ τὴν Νε-
μέαν ἀφικόμενος καὶ τὸν λέοντα μαστεύσας ἐτόξευσε
πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα, ἀνατεινάμενος 3
τὸ ῥόπαλον ἐδίωκε. συμφυγόντος δὲ εἰς ἀμφίστομον
σπήλαιον αὐτοῦ τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ

δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ, καὶ περιθεὶς τὴν
χεῖρα τῷ τραχήλῳ κατέσχεν ἄγχων ἕως ἔπνιξε, καὶ θέ-
4 μενος ἐπὶ τῶν ὤμων ἐκόμιζεν εἰς Μυκήνας. καταλαβὼν
δὲ τὸν Μόλορχον ἐν τῇ τελευταίᾳ τῶν ἡμερῶν ὡς νεκρῷ
μέλλοντα τὸ ἱερεῖον ἐναγίζειν, σωτῆρι θύσας Διὶ ἦγεν
εἰς Μυκήνας τὸν λέοντα. Εὐρυσθεὺς δὲ καταλαβὼν αὐ-
τοῦ τὴν ἀνδρείαν ἀπεῖπε τὸ λοιπὸν αὐτῷ εἰς τὴν πόλιν
εἰσιέναι, δεικνύειν δὲ πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς
5 ἄθλους. φασὶ δὲ ὅτι δείσας καὶ πίθον αὐτῷ χαλκοῦν
εἰσκρυβῆναι ὑπὸ γῆς κατεσκεύασε, καὶ πέμπων κήρυκα
Κοπρέα Πέλοπος τοῦ Ἠλείου ἐπέταττε τοὺς ἄθλους. οὗ-
τος δὲ Ἴφιτον κτείνας, φυγὼν εἰς Μυκήνας καὶ τυχὼν
παρ' Εὐρυσθέως καθαρσίων ἐκεῖ κατῴκει.

2 δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν
ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτρα-
φεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ
τὴν χώραν διέφθειρεν. εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες
σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν
2 δὲ μέσην ἀθάνατον. ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος
Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵπ-
πους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ
τὰς πηγὰς τῆς Ἀμυμώνης, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε,
3 βαλὼν βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαί-
νουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. ἣ δὲ θατέρῳ τῶν
ποδῶν ἠνείχετο περιπλακεῖσα. τῷ ῥοπάλῳ δὲ τὰς κεφα-
λὰς κόπτων οὐδὲν ἀνύειν ἐδύνατο· μιᾶς γὰρ κοπτομέ-
4 νης κεφαλῆς δύο ἀνεφύοντο. ἐπεβοήθει δὲ καρκίνος τῇ
ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. διὸ τοῦτον ἀπο-
κτείνας ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν Ἰόλαον, ὃς
μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης τοῖς δαλοῖς ἐπι-
καίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν ἐκώ-
5 λυεν ἀνιέναι. κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφυομέ-

νων κεφαλῶν περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας
κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν
τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἐλαιοῦντα· τὸ δὲ σῶμα
τῆς ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς ὀιστοὺς ἔβαψεν. Εὐ- 6
ρυσθεὺς δὲ ἔφη μὴ δεῖν καταριθμῆσαι ἐν τοῖς δέκα
τὸν ἆθλον· οὐ γὰρ μόνος ἀλλὰ καὶ μετὰ Ἰολάου τῆς
ὕδρας περιεγένετο.

τρίτον ἆθλον ἐπέταξεν αὐτῷ τὴν Κερυνῖτιν ἔλαφον 3
εἰς Μυκήνας ἔμπνουν ἐνεγκεῖν. ἦν δὲ ἡ ἔλαφος ἐν Οἰ-
νόῃ, χρυσόκερως, Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλόμενος
αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι, συνεδίωξεν
ὅλον ἐνιαυτόν. ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ διώξει συν- 2
έφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον, κἀκεῖθεν ἐπὶ
ποταμὸν Λάδωνα, καὶ τοῦτον διαβαίνειν μέλλουσαν
τοξεύσας συνέλαβε, καὶ θέμενος ἐπὶ τῶν ὤμων διὰ τῆς
Ἀρκαδίας ἠπείγετο. μετ' Ἀπόλλωνος δὲ Ἄρτεμις συν- 3
τυχοῦσα ἀφῃρεῖτο, καὶ τὸ ἱερὸν ζῷον αὐτῆς κτείναντα
κατεμέμφετο. ὃ δὲ ὑποτιμησάμενος τὴν ἀνάγκην, καὶ τὸν
αἴτιον εἰπὼν Εὐρυσθέα γεγονέναι, πραΰνας τὴν ὀργὴν
τῆς θεοῦ τὸ θηρίον ἐκόμισεν ἔμπνουν εἰς Μυκήνας.

τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον 4
κάπρον ζῶντα κομίζειν· τοῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν
Ψωφῖδα, ὁρμώμενον ἐξ ὄρους ὃ καλοῦσιν Ἐρύμανθον.
διερχόμενος οὖν Φολόην ἐπιξενοῦται Κενταύρῳ Φόλῳ,
Σιληνοῦ καὶ νύμφης μελίας παιδί. οὗτος Ἡρακλεῖ μὲν 2
ὀπτὰ παρεῖχε τὰ κρέα, αὐτὸς δὲ ὠμοῖς ἐχρῆτο. αἰτοῦντος
δὲ οἶνον Ἡρακλέους, ἔφη δεδοικέναι τὸν κοινὸν τῶν
Κενταύρων ἀνοῖξαι πίθον· θαρρεῖν δὲ παρακελευσά-
μενος Ἡρακλῆς αὐτὸν ἤνοιξε, καὶ μετ' οὐ πολὺ διὰ τῆς 3
ὀσμῆς αἰσθόμενοι παρῆσαν οἱ Κένταυροι, πέτραις ὡπλι-
σμένοι καὶ ἐλάταις, ἐπὶ τὸ τοῦ Φόλου σπήλαιον. τοὺς
μὲν οὖν πρώτους τολμήσαντας εἴσω παρελθεῖν Ἄγχιον

καὶ Ἄγριον Ἡρακλῆς ἐτρέψατο βαλὼν δαλοῖς, τοὺς δὲ
4 λοιποὺς ἐτόξευσε διώκων ἄχρι τῆς Μαλέας. ἐκεῖθεν δὲ
πρὸς Χείρωνα συνέφυγον, ὃς ἐξελαθεὶς ὑπὸ Λαπιθῶν
ὄρους Πηλίου παρὰ Μαλέαν κατῴκησε. τούτῳ περι-
πεπτωκότας τοὺς Κενταύρους τοξεύων ἵησι βέλος, τὸ δὲ
5 ἐνεχθὲν Ἐλάτου διὰ τοῦ βραχίονος ἐς τὸ γόνυ τὸ Χεί-
ρωνος ἐμπήγνυται. ἀνιαθεὶς δὲ Ἡρακλῆς προσδραμὼν
τό τε βέλος ἐξείλκυσε, καὶ δόντος Χείρωνος φάρμακον
ἐπέθηκεν. ἀνίατον δὲ ἔχων τὸ ἕλκος εἰς τὸ σπήλαιον
ἀπαλλάσσεται. κἀκεῖ τελευτῆσαι βουλόμενος, καὶ μὴ
δυνάμενος ἐπείπερ ἀθάνατος ἦν, ἀντιδοὺς δὲ Διὶ Προ-
μηθέα τὸν ἀντ' αὐτοῦ γενησόμενον ἀθάνατον, οὕτως
6 ἀπέθανεν. οἱ λοιποὶ δὲ τῶν Κενταύρων φεύγουσιν ἄλ-
λος ἀλλαχῇ, καὶ τινὲς μὲν παρεγένοντο εἰς ὄρος Μαλέαν,
Εὐρυτίων δὲ εἰς Φολόην, Νέσσος δὲ ἐπὶ ποταμὸν Εὔη-
νον. τοὺς δὲ λοιποὺς ὑποδεξάμενος Ποσειδῶν εἰς Ἐλευ-
7 σῖνα ὄρει κατεκάλυψεν. ἐπανελθὼν δὲ εἰς Φολόην Ἡρα-
κλῆς, καὶ Φόλον τελευτῶντα θεασάμενος μετὰ καὶ ἄλ-
λων πολλῶν, . . . ἑλκύσας ἐκ νεκροῦ τὸ βέλος, ἐθαύμαζεν
εἰ τοὺς τηλικούτους τὸ μικρὸν διέφθειρε· τὸ δὲ τῆς χει-
ρὸς ὀλισθῆσαν ἦλθεν ἐπὶ τὸν πόδα καὶ παραχρῆμα ἀπ-
8 έκτεινεν αὐτόν. θάψας δὲ Φόλον Ἡρακλῆς ἐπὶ τὴν τοῦ
κάπρου θήραν παραγίνεται, καὶ διώξας αὐτὸν ἔκ τινος
λόχμης μετὰ κραυγῆς εἰς χιόνα πολλήν, παρειμένον
ἐμβροχίσας τε ἐκόμισεν εἰς Μυκήνας.

5 πέμπτον [μὲν] ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγέου
βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν ὄνθον.
ἦν δὲ Αὐγέας βασιλεὺς Ἤλιδος, ὡς μέν τινες εἶπον,
παῖς Ἡλίου, ὡς δέ τινες, Ποσειδῶνος, ὡς δὲ ἔνιοι, Φόρ-
2 βαντος, πολλὰς δὲ εἶχε βοσκημάτων ποίμνας. τούτῳ
προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπι-
ταγήν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει

τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγέας δὲ ἀπιστῶν
ὑπισχνεῖται. μαρτυρούμενος δὲ Ἡρακλῆς τὸν Αὐγέου 3
παῖδα Φυλέα, τῆς τε αὐλῆς τὸ θεμέλιον διεῖλε καὶ τὸν
Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνειὸν σύνεγγυς ῥέοντας
παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξόδου ποι-
ήσας. μαθὼν δὲ Αὐγέας ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως 4
τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου, προσέτι
δὲ ἠρνεῖτο καὶ μισθὸν ὑποσχέσθαι δώσειν, καὶ κρίνε-
σθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι. καθεζομένων δὲ 5
τῶν δικαστῶν, κληθεὶς ὁ Φυλεὺς ὑπὸ Ἡρακλέους τοῦ
πατρὸς κατεμαρτύρησεν, εἰπὼν ὁμολογῆσαι μισθὸν δώ-
σειν αὐτῷ. ὀργισθεὶς δὲ Αὐγέας, πρὶν τὴν ψῆφον ἐνε-
χθῆναι, τόν τε Φυλέα καὶ τὸν Ἡρακλέα βαδίζειν ἐξ Ἤλι-
δος ἐκέλευσε. Φυλεὺς μὲν οὖν εἰς Δουλίχιον ἦλθε κἀκεῖ 6
κατῴκει, Ἡρακλῆς δὲ εἰς Ὤλενον πρὸς Δεξαμενὸν ἧκε
καὶ κατέλαβε τοῦτον μέλλοντα δι' ἀνάγκην μνηστεύειν
Εὐρυτίωνι Κενταύρῳ Μνησιμάχην τὴν θυγατέρα· ὑφ' 7
οὗ παρακληθεὶς βοηθεῖν ἐλθόντα ἐπὶ τὴν νύμφην Εὐρυ-
τίωνα ἀπέκτεινεν. Εὐρυσθεὺς δὲ οὐδὲ τοῦτον ἐν τοῖς
δέκα προσεδέξατο ἆθλον, λέγων ἐπὶ μισθῷ πεπραχέναι.

ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνι- 6
θας ἐκδιῶξαι. ἦν δὲ ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας
Στυμφαλὶς λεγομένη λίμνη, πολλῇ συνηρεφὴς ὕλῃ· εἰς
ταύτην ὄρνεις συνέφυγον ἄπλετοι, τὴν ἀπὸ τῶν λύκων
ὠρυγὴν δεδοικυῖαι. ἀμηχανοῦντος οὖν Ἡρακλέους πῶς 2
ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα δί-
δωσιν αὐτῷ Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα. ταῦτα
κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου τὰς ὄρ-
νιθας ἐφόβει· αἳ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ
δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτό-
ξευσεν αὐτάς.

ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. 7

τοῦτον Ἀκουσίλαος μὲν εἶναί φησι τὸν διαπορθμεύ-
σαντα Εὐρώπην Διί, τινὲς δὲ τὸν ὑπὸ Ποσειδῶνος ἀνα-
δοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι Μί-
2 νως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. καί φασι θεασά-
μενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν εἰς τὰ
βουκόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι· ἐφ᾽
3 οἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον. ἐπὶ τοῦ-
τον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ λαβεῖν
ἀξιοῦντι Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγωνισαμένῳ,
καὶ λαβὼν πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε, καὶ τὸ
4 λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς Σπάρτην τε καὶ
Ἀρκαδίαν ἅπασαν, καὶ διαβὰς τὸν Ἰσθμόν, εἰς Μαρα-
θῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους διελυ-
μαίνετο.

8 ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ
Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν· ἦν δὲ οὗτος
Ἄρεος καὶ Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳ-
κίου [καὶ] μαχιμωτάτου, εἶχε δὲ ἀνθρωποφάγους ἵππους.
2 πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασά-
μενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας
3 ἤγαγεν ἐπὶ τὴν θάλασσαν. τῶν δὲ Βιστόνων σὺν ὅπλοις
ἐπιβοηθούντων τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ
φυλάσσειν· οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦν-
τος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπι-
4 σπασάμεναι· πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος
καὶ Διομήδην ἀποκτείνας τοὺς λοιποὺς ἠνάγκαζε φεύ-
γειν, καὶ κτίσας πόλιν Ἄβδηρον παρὰ τὸν τάφον τοῦ
διαφθαρέντος Ἀβδήρου, τὰς ἵππους κομίσας Εὐρυσθεῖ
ἔδωκε. μεθέντος δὲ αὐτὰς Εὐρυσθέως, εἰς τὸ λεγόμενον
ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

9 ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν
τὸν Ἱππολύτης. αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ

κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα
τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν, καὶ εἴ ποτε μι-
γεῖσαι γεννήσειαν, τὰ θήλεα ἔτρεφον, καὶ τοὺς μὲν
δεξιοὺς μαστοὺς ἐξέθλιβον, ἵνα μὴ κωλύωνται ἀκοντί-
ζειν, τοὺς δὲ ἀριστεροὺς εἴων, ἵνα τρέφοιεν. εἶχε δὲ Ἱπ- 2
πολύτη τὸν Ἄρεος ζωστῆρα, σύμβολον τοῦ πρωτεύειν
ἁπασῶν. ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο,
λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς
Ἀδμήτης. παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν μιᾷ 3
νηὶ ἔπλει, καὶ προσίσχει νήσῳ Πάρῳ, ἣν κατῴκουν οἱ
Μίνωος υἱοὶ Εὐρυμέδων Χρύσης Νηφαλίων Φιλόλαος.
ἀποβάντων τῶν ἐν τῇ νηὶ δύο συνέβη τελευτῆσαι ὑπὸ
τῶν Μίνωος υἱῶν· ὑπὲρ ὧν ἀγανακτῶν Ἡρακλῆς τού- 4
τους μὲν παραχρῆμα ἀπέκτεινε, τοὺς δὲ λοιποὺς κατα-
κλείσας ἐπολιόρκει, ἕως ἐπιπρεσβευσάμενοι παρεκάλουν
ἀντὶ τῶν ἀναιρεθέντων δύο λαβεῖν, οὓς ἂν αὐτὸς θε-
λήσῃ. ὁ δὲ λύσας τὴν πολιορκίαν, καὶ τοὺς ⟨Ἀνδρόγεω 5
τοῦ⟩ Μίνωος υἱοὺς ἀνελόμενος Ἀλκαῖον καὶ Σθένελον,
ἧκεν εἰς Μυσίαν πρὸς Λύκον τὸν Δασκύλου, καὶ ξενι-
σθεὶς ὑπὸ . . . τοῦ Βεβρύκων βασιλέως συμβαλόντων,
βοηθῶν Λύκῳ πολλοὺς ἀπέκτεινε, μεθ᾽ ὧν καὶ τὸν βα- 6
σιλέα Μύγδονα, ἀδελφὸν Ἀμύκου. καὶ τὴν Βεβρύκων
πόλιν ἀποτεμόμενος γῆν ἔδωκε Λύκῳ· ὁ δὲ πᾶσαν ἐκεί-
νην ἐκάλεσεν Ἡράκλειαν.

καταπλεύσαντος δὲ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, 7
παραγενομένης ὡς αὐτὸν Ἱππολύτης καὶ τίνος ἥκοι χά-
ριν πυθομένης, καὶ δώσειν τὸν ζωστῆρα ὑπισχνουμένης,
Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος ἐπεφοί-
τα, λέγουσα „τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσελθόντες
ξένοι“. αἳ δὲ μεθ᾽ ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν 8
ἵπποις. ὡς δὲ εἶδεν αὐτὰς καθωπλισμένας Ἡρακλῆς,
νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην

κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ τὰς λοιπὰς
ἀγωνισάμενος ἀποπλεῖ, καὶ προσίσχει Τροίᾳ.
9 συνεβεβήκει δὲ τότε κατὰ μῆνιν Ἀπόλλωνος καὶ Πο-
σειδῶνος ἀτυχεῖν τὴν πόλιν. Ἀπόλλων γὰρ καὶ Ποσειδῶν
τὴν Λαομέδοντος ὕβριν πειράσαι θέλοντες, εἰκασθέντες
ἀνθρώποις ὑπέσχοντο ἐπὶ μισθῷ τειχιεῖν τὸ Πέργαμον.
10 τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπεδίδου. διὰ τοῦτο
Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσειδῶν δὲ κῆτος ἀνα-
φερόμενον ὑπὸ πλημυρίδος, ὃ τοὺς ἐν τῷ πεδίῳ συν-
11 ήρπαζεν ἀνθρώπους. χρησμῶν δὲ λεγόντων ἀπαλλαγὴν
ἔσεσθαι τῶν συμφορῶν, ἐὰν προθῇ Λαομέδων Ἡσιόνην
τὴν θυγατέρα αὐτοῦ βορὰν τῷ κήτει, ὃ δὲ προύθηκε
12 ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας. ταύ-
την ἰδὼν ἐκκειμένην Ἡρακλῆς ὑπέσχετο σώσειν αὐτήν,
εἰ τὰς ἵππους παρὰ Λαομέδοντος λήψεται ἃς Ζεὺς ποι-
νὴν τῆς Γανυμήδους ἁρπαγῆς ἔδωκε. δώσειν δὲ Λαο-
μέδοντος εἰπόντος, κτείνας τὸ κῆτος Ἡσιόνην ἔσωσε.
μὴ βουλομένου δὲ τὸν μισθὸν ἀποδοῦναι, πολεμήσειν
Τροίαν ἀπειλήσας ἀνήχθη.
13 καὶ προσίσχει Αἴνῳ, ἔνθα ξενίζεται ὑπὸ Πόλτυος.
ἀποπλέων δὲ ἐπὶ ᾐόνος τῆς Αἰνίας Σαρπηδόνα, Ποσει-
δῶνος μὲν υἱὸν ἀδελφὸν δὲ Πόλτυος, ὑβριστὴν ὄντα
τοξεύσας ἀπέκτεινε. καὶ παραγενόμενος εἰς Θάσον καὶ
χειρωσάμενος τοὺς ἐνοικοῦντας Θρᾷκας ἔδωκε τοῖς Ἀν-
14 δρόγεω παισὶ κατοικεῖν. ἐκ Θάσου δὲ ὁρμηθεὶς ἐπὶ Το-
ρώνην Πολύγονον καὶ Τηλέγονον, τοὺς Πρωτέως τοῦ
Ποσειδῶνος υἱούς, παλαίειν προκαλουμένους κατὰ τὴν
πάλην ἀπέκτεινε. κομίσας δὲ τὸν ζωστῆρα εἰς Μυκήνας
ἔδωκεν Εὐρυσθεῖ.
10 δέκατον δὲ ἐπετάγη ἆθλον τὰς Γηρυόνου βοῦς ἐξ
Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον
2 κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. ταύτην κατῴ-

κει Γηρυόνης Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ,
τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον μὲν εἰς
ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς τρεῖς ἀπὸ λαγό-
νων τε καὶ μηρῶν. εἶχε δὲ φοινικᾶς βόας, ὧν ἦν βου- 3
κόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος
ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος. πορευόμενος 4
οὖν ἐπὶ τὰς Γηρυόνου βόας διὰ τῆς Εὐρώπης, ἄγρια
πολλὰ παρελθὼν Λιβύην ἐπέβαινε, καὶ παρελθὼν Ταρ-
τησσὸν ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώ-
πης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. θερμαινόμε- 5
νος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ τὸν
θεὸν ἐνέτεινεν· ὃ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας
χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεανὸν διεπέρασε. καὶ
παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται.
αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὃ δὲ καὶ τοῦτον 6
τῷ ῥοπάλῳ παίει, καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ
βοηθοῦντα ἀπέκτεινε. Μενοίτης δὲ ἐκεῖ τὰς Ἅδου βόας
βόσκων, Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν· ὃ δὲ κατα- 7
λαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς βόας
ἀπάγοντα, συστησάμενος μάχην τοξευθεὶς ἀπέθανεν.
Ἡρακλῆς δὲ ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας καὶ δια-
πλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν ἀπέδωκε τὸ δέπας.
διελθὼν δὲ Ἰβηρίαν εἰς Λιγυστίνην ἦλθεν, ἐν ᾗ τὰς βόας 8
ἀφῃροῦντο Ἀλεβίων τε καὶ Δέρκυνος οἱ Ποσειδῶνος
υἱοί, οὓς κτείνας διὰ Τυρρηνίας ᾔει. ἀπὸ Ῥηγίου δὲ εἷς 9
ἀπορρήγνυσι ταῦρος, καὶ ταχέως εἰς τὴν θάλασσαν ἐμ-
πεσὼν καὶ διανηξάμενος εἰς Σικελίαν, καὶ τὴν πλησίον
χώραν διελθὼν τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἰταλίαν
(Τυρρηνοὶ γὰρ ἰταλὸν τὸν ταῦρον ἐκάλεσαν), ἦλθεν εἰς
πεδίον Ἔρυκος, ὃς ἐβασίλευεν Ἐλύμων. Ἔρυξ δὲ ἦν Πο-
σειδῶνος παῖς, ὃς τὸν ταῦρον ταῖς ἰδίαις συγκατέμιξεν
ἀγέλαις. παραθέμενος οὖν τὰς βόας Ἡρακλῆς Ἡφαίστῳ 10

ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἠπείγετο· εὑρὼν δὲ ἐν ταῖς τοῦ
Ἔρυκος ἀγέλαις ἀπαιτεῖ, καὶ λέγοντος οὐ δώσειν εἰ μὴ
παλαίσας αὐτοῦ περιγένηται, τρὶς περιγενόμενος κατὰ
τὴν πάλην ἀπέκτεινε, καὶ τὸν ταῦρον λαβὼν μετὰ τῶν
11 ἄλλων ἐπὶ τὸν Ἰόνιον ἤλαυνε πόντον. ὡς δὲ ἦλθεν ἐπὶ
τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον ἐνέβαλεν
ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς τῆς Θρᾴκης ὑπωρείας·
ὃ δὲ διώξας τὰς μὲν συλλαβὼν ἐπὶ τὸν Ἑλλήσποντον
ἤγαγεν, αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν ἦσαν ἄγριαι.
12 μόλις δὲ τῶν βοῶν συνελθουσῶν Στρυμόνα μεμψάμε-
νος τὸν ποταμόν, πάλαι τὸ ῥεῖθρον πλωτὸν ὂν ἐμπλήσας
πέτραις ἄπλωτον ἐποίησε, καὶ τὰς βόας Εὐρυσθεῖ κο-
μίσας ἔδωκεν. ὃ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.

11 τελεσθέντων δὲ τῶν ἄθλων ἐνὶ μηνὶ καὶ ἔτεσιν
ὀκτώ, μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ
Αὐγέου βοσκημάτων καὶ τὸν τῆς ὕδρας, ἑνδέκατον ἐπ-
έταξεν ἆθλον παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν.
2 ταῦτα δὲ ἦν, οὐχ ὥς τινες εἶπον ἐν Λιβύῃ, ἀλλ' ἐπὶ τοῦ
Ἄτλαντος ἐν Ὑπερβορέοις· ἃ Διὶ γήμαντι Ἥρα ἐδωρή-
σατο. ἐφύλασσε δὲ αὐτὰ δράκων ἀθάνατος, Τυφῶνος
καὶ Ἐχίδνης, κεφαλὰς ἔχων ἑκατόν· ἐχρῆτο δὲ φωναῖς
παντοίαις καὶ ποικίλαις. μετὰ τούτου δὲ Ἑσπερίδες ἐφύ-
3 λαττον, Αἴγλη Ἐρύθεια Ἑσπερία Ἀρέθουσα. πορευό-
μενος οὖν ἐπὶ ποταμὸν Ἐχέδωρον ἧκε. Κύκνος δὲ Ἄρεος
καὶ Πυρήνης εἰς μονομαχίαν αὐτὸν προυκαλεῖτο. Ἄρεος
δὲ τοῦτον ἐκδικοῦντος καὶ συνιστάντος μονομαχίαν,
βληθεὶς κεραυνὸς μέσος ἀμφοτέρων διαλύει τὴν μάχην.
βαδίζων δὲ δι' Ἰλλυριῶν, καὶ σπεύδων ἐπὶ ποταμὸν
4 Ἠριδανόν, ἧκε πρὸς νύμφας Διὸς καὶ Θέμιδος. αὗται
μηνύουσιν αὐτῷ Νηρέα. συλλαβὼν δὲ αὐτὸν κοιμώμε-
νον καὶ παντοίας ἐναλλάσσοντα μορφὰς ἔδησε, καὶ οὐκ
ἔλυσε πρὶν ἢ μαθεῖν παρ' αὐτοῦ ποῦ τυγχάνοιεν τὰ

μῆλα καὶ αἱ Ἑσπερίδες. μαθὼν δὲ Λιβύην διεξῄει.
ταύτης ἐβασίλευε παῖς Ποσειδῶνος Ἀνταῖος, ὃς τοὺς 5
ξένους ἀναγκάζων παλαίειν ἀνῄρει. τούτῳ παλαίειν
ἀναγκαζόμενος Ἡρακλῆς ἀράμενος ἅμμασι μετέωρον κλά-
σας ἀπέκτεινε· ψαύοντα γὰρ γῆς ἰσχυρότερον συνέβη
γίνεσθαι, διὸ καὶ γῆς τινὲς ἔφασαν τοῦτον εἶναι παῖδα.

μετὰ Λιβύην δὲ Αἴγυπτον διεξῄει. ταύτης ἐβασί- 6
λευε Βούσιρις Ποσειδῶνος παῖς καὶ Λυσιανάσσης τῆς
Ἐπάφου. οὗτος τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς κατά
τι λόγιον· ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατ-
έλαβε, Θράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπι-
στήμην, ἔφη τὴν ἀφορίαν παύσεσθαι ἐὰν ξένον ἄνδρα
τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶ- 7
τον σφάξας τὸν μάντιν τοὺς παριόντας ξένους ἔσφαζε.
συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο,
τὰ δὲ δεσμὰ διαρρήξας τόν τε Βούσιριν καὶ τὸν ἐκείνου
παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε.

διεξιὼν δὲ Ἀσίαν Θερμυδραῖς, Λινδίων λιμένι, 8
προσίσχει. καὶ βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν
ταύρων ἀπὸ τῆς ἁμάξης εὐωχεῖτο θύσας. ὁ δὲ βοηλάτης
βοηθεῖν ἑαυτῷ μὴ δυνάμενος στὰς ἐπί τινος ὄρους κατ-
ηρᾶτο. διὸ καὶ νῦν, ἐπειδὰν θύωσιν Ἡρακλεῖ, μετὰ
καταρῶν τοῦτο πράττουσι.

παριὼν δὲ Ἀραβίαν Ἠμαθίωνα κτείνει παῖδα Τιθω- 9
νοῦ. καὶ διὰ τῆς Λιβύης πορευθεὶς ἐπὶ τὴν ἔξω θάλασ-
σαν καταπλεῖ, οὗ τὸ δέπας καταλαμβάνει. καὶ περαιω- 10
θεὶς ἐπὶ τὴν ἤπειρον τὴν ἀντικρὺ κατετόξευσεν ἐπὶ
τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ
αἰετόν, ὄντα Ἐχίδνης καὶ Τυφῶνος· καὶ τὸν Προμηθέα
ἔλυσε, δεσμὸν ἑλόμενος τὸν τῆς ἐλαίας, καὶ παρέσχε τῷ
Διὶ Χείρωνα θνήσκειν ἀθάνατον ἀντ' αὐτοῦ θέλοντα.

ὡς δὲ ἧκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, εἰπόν- 11

τος Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ
πορεύεσθαι, διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον ἀπο-
στέλλειν ἐκεῖνον, πεισθεὶς δὲ διεδέξατο. Ἄτλας δὲ δρε-
ψάμενος παρ' Ἑσπερίδων τρία μῆλα ἧκε πρὸς Ἡρακλέα.
καὶ μὴ βουλόμενος τὸν πόλον ἔχειν . . . καὶ σπεῖραν ἐπὶ
12 τῆς κεφαλῆς θέλειν ποιήσασθαι. τοῦτο ἀκούσας Ἄτλας,
ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν πόλον διεδέξατο. καὶ οὕ-
τως ἀνελόμενος αὐτὰ Ἡρακλῆς ἀπηλλάττετο. ἔνιοι δέ
φασιν οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν, ἀλλ' αὐτὸν δρέ-
13 ψασθαι τὰ μῆλα, κτείναντα τὸν φρουροῦντα ὄφιν. κο-
μίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἔδωκεν· ὁ δὲ λαβὼν Ἡρα-
κλεῖ ἐδωρήσατο. παρ' οὗ λαβοῦσα Ἀθηνᾶ πάλιν αὐτὰ
ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.

12 δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομί-
ζειν. εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ
οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν
2 ὄφεων κεφαλάς. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθε
πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι. ἦν
δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι, διὸ θετὸς Πυλίου παῖς
3 γενόμενος ἐμυεῖτο. μὴ δυνάμενος δὲ ἰδεῖν τὰ μυστήρια
ἐπείπερ οὐκ ἦν ἡγνισμένος τὸν Κενταύρων φόνον, ἁγνι-
σθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη. καὶ παραγενόμενος
ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς Ἅιδου καταβάσεως
4 τὸ στόμιον ἔστι, διὰ τούτου κατῄει. ὁπηνίκα δὲ εἶδον
αὐτὸν αἱ ψυχαί, χωρὶς Μελεάγρου καὶ Μεδούσης τῆς
Γοργόνος ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶ-
σαν ἕλκει, καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι κενὸν εἴδωλον
5 ἐστί. πλησίον δὲ τῶν Ἅιδου πυλῶν γενόμενος Θησέα
εὗρε καὶ Πειρίθουν τὸν Περσεφόνης μνηστευόμενον
γάμον καὶ διὰ τοῦτο δεθέντα. θεασάμενοι δὲ Ἡρακλέα
τὰς χεῖρας ὤρεγον ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου
6 βίας. ὁ δὲ Θησέα μὲν λαβόμενος τῆς χειρὸς ἤγειρε, Πει-

ρίθουν δὲ ἀναστῆσαι βουλόμενος τῆς γῆς κινουμένης
ἀφῆκεν. ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βου- 7
λόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι, μίαν τῶν
Ἅιδου βοῶν ἀπέσφαξεν. ὁ δὲ νέμων αὐτὰς Μενοίτης ὁ
Κευθωνύμου προκαλεσάμενος εἰς πάλην Ἡρακλέα, λη-
φθεὶς μέσος καὶ τὰς πλευρὰς κατεάξας ὑπὸ Περσεφόνης
παρῃτήθη. αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν Κέρβερον, 8
ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν ὅπλων κρα-
τοῦντα. ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέρον-
τος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ συσκε-
πασθείς, καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ ἀνῆκε,
καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος,
κρατῶν δὲ ἐκ τοῦ τραχήλου καὶ ἄγχων τὸ θηρίον ἔπεισε.
συλλαβὼν οὖν αὐτὸν ἧκε διὰ Τροιζῆνος ποιησάμενος τὴν 9
ἀνάβασιν. Ἀσκάλαφον μὲν οὖν Δημήτηρ ἐποίησεν ὦτον,
Ἡρακλῆς δὲ Εὐρυσθεῖ δείξας τὸν Κέρβερον πάλιν ἐκό-
μισεν εἰς Ἅιδου.

μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς ἀφικόμενος εἰς Θή- 6
βας Μεγάραν μὲν ἔδωκεν Ἰολάῳ, αὐτὸς δὲ γῆμαι θέλων
ἐπυνθάνετο Εὔρυτον Οἰχαλίας δυνάστην ἆθλον προτι-
θέναι τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νικήσαντι τοξι-
κῇ αὐτόν τε καὶ τοὺς παῖδας αὐτῷ ὑπάρχοντας. ἀφικό- 2
μενος οὖν εἰς Οἰχαλίαν καὶ τῇ τοξικῇ κρείττων αὐτῶν
γενόμενος οὐκ ἔτυχε τοῦ γάμου, Ἰφίτου μὲν τοῦ πρεσβυ-
τέρου τῶν παίδων λέγοντος διδόναι τῷ Ἡρακλεῖ τὴν
Ἰόλην, Εὐρύτου δὲ καὶ τῶν λοιπῶν ἀπαγορευόντων καὶ
δεδοικέναι λεγόντων μὴ τεκνοποιησάμενος τὰ γενησό-
μενα πάλιν ἀποκτείνῃ. μετ' οὐ πολὺ δὲ κλαπεισῶν ἐξ 2
Εὐβοίας ὑπὸ Αὐτολύκου βοῶν, Εὔρυτος μὲν ἐνόμιζεν
ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο, Ἴφιτος δὲ ἀπιστῶν
ἀφικνεῖται πρὸς Ἡρακλέα, καὶ συντυχὼν ἥκοντι ἐκ Φε-
ρῶν αὐτῷ, σεσωκότι τὴν ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμή-

2 τῳ, παρακαλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπ-
ισχνεῖται. καὶ ξενίζει μὲν αὐτόν, μανεὶς δὲ αὖθις ἀπὸ
τῶν Τιρυνθίων ἔρριψεν αὐτὸν τειχῶν. καθαρθῆναι δὲ
θέλων τὸν φόνον ἀφικνεῖται πρὸς Νηλέα· Πυλίων ἦν
3 οὗτος δυνάστης. ἀπωσαμένου δὲ Νηλέως αὐτὸν διὰ τὴν
πρὸς Εὔρυτον φιλίαν, εἰς Ἀμύκλας παραγενόμενος ὑπὸ
Δηιφόβου τοῦ Ἱππολύτου καθαίρεται. κατασχεθεὶς δὲ
δεινῇ νόσῳ διὰ τὸν Ἰφίτου φόνον, εἰς Δελφοὺς παρα-
4 γενόμενος ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου. μὴ χρη-
σμῳδούσης δὲ αὐτῷ τῆς Πυθίας τόν τε ναὸν συλᾶν
ἤθελε, καὶ τὸν τρίποδα βαστάσας κατασκευάζειν μαν-
τεῖον ἴδιον. μαχομένου δὲ αὐτῷ Ἀπόλλωνος, ὁ Ζεὺς
5 ἵησι μέσον αὐτῶν κεραυνόν. καὶ τοῦτον διαλυθέντων
τὸν τρόπον, λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν
ἀπαλλαγὴν αὐτῷ τῆς νόσου ἔσεσθαι πραθέντι καὶ τρία
ἔτη λατρεύσαντι καὶ δόντι ποινὴν τοῦ φόνου τὴν τιμὴν
3 Εὐρύτῳ. τοῦ δὲ χρησμοῦ δοθέντος Ἑρμῆς Ἡρακλέα πι-
πράσκει· καὶ αὐτὸν ὠνεῖται Ὀμφάλη Ἰαρδάνου, βασι-
λεύουσα Λυδῶν, ᾗ τὴν ἡγεμονίαν τελευτῶν ὁ γήμας
Τμῶλος κατέλιπε. τὴν μὲν οὖν τιμὴν κομισθεῖσαν Εὔ-
2 ρυτος οὐ προσεδέξατο, Ἡρακλῆς δὴ Ὀμφάλῃ δουλεύων
τοὺς μὲν περὶ τὴν Ἔφεσον Κέρκωπας συλλαβὼν ἔδησε,
Συλέα δὲ ἐν Αὐλίδι τοὺς παριόντας ξένους σκάπτειν
ἀναγκάζοντα, σὺν ταῖς ῥίζαις τὰς ἀμπέλους σκάψας μετὰ
3 τῆς θυγατρὸς Ξενοδίκης ἀπέκτεινε. καὶ προσσχὼν νήσῳ
Δολίχῃ, τὸ Ἰκάρου σῶμα ἰδὼν τοῖς αἰγιαλοῖς προσφε-
ρόμενον ἔθαψε, καὶ τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκά-
λεσεν. ἀντὶ τούτου Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλη-
σίαν κατεσκεύασεν Ἡρακλεῖ· ἣν νυκτὸς ἀγνοήσας Ἡρα-
4 κλῆς λίθῳ βαλὼν ὡς ἔμπνουν ἔπληξε. καθ᾽ ὃν δὲ χρόνον
ἐλάτρευε παρ᾽ Ὀμφάλῃ, λέγεται τὸν ἐπὶ Κόλχους πλοῦν
γενέσθαι καὶ τὴν τοῦ Καλυδωνίου κάπρου θήραν, καὶ

Θησέα παραγενόμενον ἐκ Τροιζῆνος τὸν Ἰσθμὸν κα-
θᾶραι.

μετὰ δὲ τὴν λατρείαν ἀπαλλαγεὶς τῆς νόσου ἐπὶ 4
Ἴλιον ἔπλει πεντηκοντόροις ὀκτωκαίδεκα, συναθροίσας
στρατὸν ἀνδρῶν ἀρίστων ἑκουσίως θελόντων στρατεύε-
σθαι. καταπλεύσας δὲ εἰς Ἴλιον τὴν μὲν τῶν νεῶν φυ-
λακὴν Οἰκλεῖ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν ἄλλων ἀρι-
στέων ὥρμα ἐπὶ τὴν πόλιν. παραγενόμενος δὲ ἐπὶ τὰς 2
ναῦς σὺν τῷ πλήθει Λαομέδων Οἰκλέα μὲν ἀπέκτεινε
μαχόμενον, ἀπελαθεὶς δὲ ὑπὸ τῶν μετὰ Ἡρακλέους ἐπο-
λιορκεῖτο. τῆς δὲ πολιορκίας ἐνεστώσης ῥήξας τὸ τεῖχος
Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ μετὰ τοῦ-
τον Ἡρακλῆς. ὡς δὲ ἐθεάσατο Τελαμῶνα πρῶτον εἰσ- 3
εληλυθότα, σπασάμενος τὸ ξίφος ἐπ᾽ αὐτὸν ᾔει, μηδένα
θέλων ἑαυτοῦ κρείττονα νομίζεσθαι. συνιδὼν τοῦτο Τε-
λαμὼν πλησίον λίθους κειμένους συνήθροιζε, τοῦ δὲ
ἐρομένου τί πράττοι, βωμὸν εἶπεν Ἡρακλέους κατα-
σκευάζειν καλλινίκου. ὃ δὲ ἐπαινέσας, ὡς εἷλε τὴν πό- 4
λιν, κατατοξεύσας Λαομέδοντα καὶ τοὺς παῖδας αὐτοῦ
χωρὶς Ποδάρκου, Τελαμῶνι ἀριστεῖον Ἡσιόνην τὴν Λαο-
μέδοντος θυγατέρα δίδωσι, καὶ ταύτῃ συγχωρεῖ τῶν
αἰχμαλώτων ὃν ἤθελεν ἄγεσθαι. τῆς δὲ αἱρουμένης τὸν 5
ἀδελφὸν Ποδάρκην, ἔφη δεῖν πρῶτον αὐτὸν δοῦλον γε-
νέσθαι, καὶ τότε τί ποτε δοῦσαν ἀντ᾽ αὐτοῦ λαβεῖν αὐ-
τόν. ἣ δὲ πιπρασκομένου τὴν καλύπτραν ἀφελομένη τῆς
κεφαλῆς ἀντέδωκεν· ὅθεν Ποδάρκης Πρίαμος ἐκλήθη.

πλέοντος δὲ ἀπὸ Τροίας Ἡρακλέους Ἥρα χαλεποὺς 7
ἔπεμψε χειμῶνας· ἐφ᾽ οἷς ἀγανακτήσας Ζεὺς ἐκρέμασεν
αὐτὴν ἐξ Ὀλύμπου. προσέπλει δὲ Ἡρακλῆς τῇ Κῷ· καὶ
νομίσαντες αὐτὸν οἱ Κῷοι ληστρικὸν ἄγειν στόλον, βάλ-
λοντες λίθοις προσπλεῖν ἐκώλυον. ὃ δὲ βιασάμενος τὴν 2
νύκτα εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον, Ἀστυπαλαίας

παῖδα καὶ Ποσειδῶνος, ἔκτεινεν. ἐτρώθη δὲ κατὰ τὴν
μάχην Ἡρακλῆς ὑπὸ Χαλκώδοντος, καὶ Διὸς ἐξαρπά-
σαντος αὐτὸν οὐδὲν ἔπαθε. πορθήσας δὲ Κῶ ἧκε δι'
Ἀθηνᾶν εἰς Φλέγραν, καὶ μετὰ θεῶν κατεπολέμησε Γί-
γαντας.

2 μετ' οὐ πολὺ δὲ ἐπ' Αὐγέαν ἐστρατεύετο, συναθροί-
σας Ἀρκαδικὸν στρατὸν καὶ παραλαβὼν ἐθελοντὰς τῶν
2 ἀπὸ τῆς Ἑλλάδος ἀριστέων. Αὐγέας δὲ τὸν ἀφ' Ἡρα-
κλέους πόλεμον ἀκούων κατέστησεν Ἠλείων στρατηγοὺς
Εὔρυτον καὶ Κτέατον συμφυεῖς, οἳ δυνάμει τοὺς τότε
ἀνθρώπους ὑπερέβαλλον, παῖδες δὲ ἦσαν Μολιόνης καὶ
Ἄκτορος, ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ δὲ ἀδελφὸς
3 ἦν Αὐγέου. συνέβη δὲ Ἡρακλεῖ κατὰ τὴν στρατείαν
νοσῆσαι· διὰ τοῦτο καὶ σπονδὰς πρὸς τοὺς Μολιονίδας
ἐποιήσατο. οἳ δὲ ὕστερον ἐπιγνόντες αὐτὸν νοσοῦντα,
4 ἐπιτίθενται τῷ στρατεύματι καὶ κτείνουσι πολλούς. τότε
μὲν οὖν ἀνεχώρησεν Ἡρακλῆς· αὖθις δὲ τῆς τρίτης
ἰσθμιάδος τελουμένης, Ἠλείων τοὺς Μολιονίδας πεμ-
ψάντων συνθύτας, ἐν Κλεωναῖς ἐνεδρεύσας τούτους
Ἡρακλῆς ἀπέκτεινε, καὶ στρατευσάμενος ἐπὶ τὴν Ἦλιν
5 εἷλε τὴν πόλιν. καὶ κτείνας μετὰ τῶν παίδων Αὐγέαν
κατήγαγε Φυλέα, καὶ τούτῳ τὴν βασιλείαν ἔδωκεν.
ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, Πέλοπός τε βω-
μὸν ἱδρύσατο, καὶ θεῶν δώδεκα βωμοὺς ἓξ ἐδείματο.

3 μετὰ δὲ τὴν Ἤλιδος ἅλωσιν ἐστράτευσεν ἐπὶ Πύλον,
καὶ τὴν πόλιν ἑλὼν Περικλύμενον κτείνει τὸν ἀλκιμώ-
τατον τῶν Νηλέως παίδων, ὃς μεταβάλλων τὰς μορφὰς
ἐμάχετο. τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς
Νέστορος ἀπέκτεινεν· οὗτος δὲ νέος ὢν παρὰ Γερηνίοις
ἐτρέφετο. κατὰ δὲ τὴν μάχην καὶ Ἅιδην ἔτρωσε Πυλίοις
βοηθοῦντα.

2 ἑλὼν δὲ τὴν Πύλον ἐστράτευεν ἐπὶ Λακεδαίμονα,

μετελθεῖν τοὺς Ἱπποκόωντος παῖδας θέλων· ὠργίζετο
μὲν γὰρ αὐτοῖς καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον δὲ
ὠργίσθη ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν. θεωμέ- 3
νου γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασίλεια, ἐκδραμὼν
κύων τῶν Μολοττικῶν ἐπ' αὐτὸν ἐφέρετο· ὃ δὲ βαλὼν
λίθον ἐπέτυχε τοῦ κυνός, ἐκτροχάσαντες δὲ οἱ Ἱππο-
κοωντίδαι καὶ τύπτοντες αὐτὸν τοῖς σκυτάλοις ἀπέκτει-
ναν. τὸν δὲ τούτου θάνατον ἐκδικῶν στρατείαν ἐπὶ Λα- 4
κεδαιμονίαν συνήθροιζε. καὶ παραγενόμενος εἰς Ἀρκα-
δίαν ἠξίου Κηφέα μετὰ τῶν παίδων ὧν εἶχεν εἴκοσι
συμμαχεῖν. δεδιως δὲ Κηφεὺς μὴ καταλιπόντος αὐτοῦ
Τεγέαν Ἀργεῖοι ἐπιστρατεύσωνται, τὴν στρατείαν ἠρ-
νεῖτο. Ἡρακλῆς δὲ παρ' Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ χαλκῇ 5
βόστρυχον Γοργόνος Στερόπῃ τῇ Κηφέως θυγατρὶ δί-
δωσιν, εἰπών, ἐὰν ἐπίῃ στρατός, τρὶς ἀνασχούσης ἐκ
τῶν τειχῶν τὸν βόστρυχον καὶ μὴ προϊδούσης τροπὴν
τῶν πολεμίων ἔσεσθαι. τούτου γενομένου Κηφεὺς μετὰ 6
τῶν παίδων ἐστράτευε. καὶ κατὰ τὴν μάχην αὐτός τε
καὶ οἱ παῖδες αὐτοῦ τελευτῶσι, καὶ πρὸς τούτοις Ἴφι-
κλος ὁ τοῦ Ἡρακλέους ἀδελφός. Ἡρακλῆς δὲ κτείνας
τὸν Ἱπποκόωντα καὶ τοὺς παῖδας αὐτοῦ, χειρωσάμενος
τὴν πόλιν, Τυνδάρεων καταγαγὼν τὴν βασιλείαν παρ-
έδωκε τούτῳ.

παριὼν δὲ Τεγέαν Ἡρακλῆς τὴν Αὔγην Ἀλεοῦ θυ- 4
γατέρα οὖσαν ἀγνοῶν ἔφθειρεν. ἣ δὲ τεκοῦσα κρύφα
τὸ βρέφος κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ δὲ
τῆς χώρας φθειρομένης, Ἀλεὸς εἰσελθὼν καὶ ἐρευνήσας
εἰς τὸ τέμενος τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε. τὸ μὲν 2
οὖν βρέφος εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο. καὶ τοῦτο
μὲν κατὰ θεῶν τινὰ πρόνοιαν ἐσώθη· θηλὴν μὲν γὰρ
ἀρτιτόκος ἔλαφος ὑπέσχεν αὐτῷ, ποιμένες δὲ ἀνελόμενοι
τὸ βρέφος Τήλεφον ἐκάλεσαν αὐτόν. Αὔγην δὲ ἔδωκε 3

Ναυπλίῳ τῷ Ποσειδῶνος ὑπερόριον ἀπεμπολῆσαι. ὁ δὲ
Τεύθραντι τῷ Τευθρανίας ἔδωκεν αὐτὴν δυνάστῃ, κἀ-
κεῖνος γυναῖκα ἐποιήσατο.

5 Ἡρακλῆς δὲ παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰ-
νέως θυγατέρα Δηιάνειραν ἐμνηστεύσατο, καὶ διαπα-
λαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον εἰκασμέ-
νον ταύρῳ περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν
μὲν Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει,
2 δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν
Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δέ, ὡς
Φερεκύδης λέγει, δύναμιν ἔχει τοιαύτην ὥστε βρωτὸν
ἢ ποτόν, ὅπερ εὔξαιτό τις, παρέχειν ἄφθονον.

6 στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θε-
σπρωτούς, καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύ-
λας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ Τλη-
πολέμου γίνεται. διατελῶν δὲ παρ' αὐτοῖς, πέμψας πρὸς
Θέσπιον ἑπτὰ μὲν κατέχειν ἔλεγε παῖδας, τρεῖς δὲ εἰς
Θήβας ἀποστέλλειν, τοὺς δὲ λοιποὺς τεσσαράκοντα πέμ-
2 πειν εἰς Σαρδὼ τὴν νῆσον ἐπ' ἀποικίαν. γενομένων δὲ
τούτων εὐωχούμενος παρὰ Οἰνεῖ καὶ κονδύλῳ πλήξας
ἀπέκτεινεν Ἀρχιτέλους παῖδα Εὔνομον κατὰ χειρῶν δι-
3 δόντα· συγγενὴς δὲ Οἰνέως οὗτος. ἀλλ' ὁ μὲν πατὴρ
τοῦ παιδός, ἀκουσίως γεγενημένου τοῦ συμβεβηκότος,
συνεγνωμόνει, Ἡρακλῆς δὲ κατὰ τὸν νόμον τὴν φυγὴν
ὑπομένειν ἤθελε, καὶ δὴ ἔγνω πρὸς Κήυκα εἰς Τραχῖνα
4 ἀπιέναι. ἄγων δὲ Δηιάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἧκεν,
ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας
διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν τὴν πορθμείαν
5 εἰληφέναι διὰ δικαιοσύνην. αὐτὸς μὲν οὖν Ἡρακλῆς
τὸν ποταμὸν διήει, Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπ-
έτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ διαπορθμεύων αὐτὴν
ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ὁ

Ἡρακλῆς ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν.
ὁ δὲ μέλλων τελευτᾶν προσκαλεσάμενος ⟨Δηιάνειραν⟩ 6
εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τόν τε
γόνον ὃν ἀφῆκε κατὰ τῆς γῆς, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύ-
ματος τῆς ἀκίδος αἷμα συμμῖξαι. ἡ δὲ ποιήσασα τοῦτο
ἐφύλαττε παρ' ἑαυτῇ.

διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν 7
τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος τὸν
ἕτερον τῶν ταύρων λύσας εὐωχήσατο. ὡς δὲ ἦλθεν εἰς
Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύοπας
κατεπολέμησεν.

αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς Αἰγιμίῳ βασιλεῖ Δωριέων 2
συνεμάχησε· Λαπίθαι γὰρ περὶ γῆς ὅρων ἐπολέμουν
αὐτῷ Κορώνου στρατηγοῦντος, ὁ δὲ πολιορκούμενος
ἐπεκαλέσατο τὸν Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς.
βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλ-
λων, καὶ τὴν γῆν ἅπασαν παρέδωκεν ἐλευθέραν αὐτῷ.
ἀπέκτεινε δὲ καὶ Λαογόραν μετὰ τῶν τέκνων, βασιλέα 3
Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν
ὄντα καὶ Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα εἰς 4
μονομαχίαν προεκαλέσατο αὐτὸν Κύκνος Ἄρεος καὶ Πε-
λοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς
Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴα
διέρχεσθαι· κωλυόμενος δὲ παριέναι καὶ τοῦτον ἀπ-
έκτεινεν.

ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατείαν ἐπ' Οἰχαλίαν 5
συνήθροιζεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμα-
χούντων δὲ αὐτῷ Ἀρκάδων καὶ Μηλιέων τῶν ἐκ Τραχῖ-
νος καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν
παίδων Εὔρυτον αἱρεῖ τὴν πόλιν. καὶ θάψας τῶν σὺν 6
αὐτῷ στρατευομένων τοὺς ἀποθανόντας, Ἵππασόν τε τὸν
Κήυκος καὶ Ἀργεῖον καὶ Μέλανα τοὺς Λικυμνίου παῖ-

δας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμά-
7 λωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρω-
τηρίῳ Διὸς Κηναίου βωμὸν ἱδρύσατο. μέλλων δὲ ἱερουρ-
γεῖν εἰς Τραχῖνα τὸν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα
8 οἴσοντα. παρὰ δὲ τούτου τὰ περὶ τὴν Ἰόλην Δηιάνειρα
πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ,
νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα
9 Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς
ἔθυεν. ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς
τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος
κατηκόντισεν, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ
10 σώματι· συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. τοιαύτῃ δὲ
συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται.
Δηιάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς ἑαυτὴν ἀνήρτησεν.
11 Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἐκ Δηιανείρας ἦν
αὐτῷ παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι,
παραγενόμενος εἰς Οἴτην ὄρος (ἔστι δὲ τοῦτο Τραχι-
νίων), ἐκεῖ πυρὰν ποιήσας ἐκέλευεν ἐπιβάντος ὑφάπτειν.
μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος, Ποίας παριὼν
12 κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. τούτῳ καὶ τὰ τόξα ἐδω-
ρήσατο Ἡρακλῆς. καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος
ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι.
ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ τὴν
ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες
Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

8 ἦσαν δὲ παῖδες αὐτῷ ἐκ μὲν τῶν Θεσπίου θυγατέ-
ρων, Πρόκριδος μὲν Ἀντιλέων καὶ Ἱππεύς (ἡ πρεσβυ-
τάτη γὰρ διδύμους ἐγέννησε), Πανόπης δὲ Θρεψίππας,
2 Λύσης Εὐμείδης, . . . Κρέων, Ἐπιλάιδος Ἀστυάναξ,
Κέρθης Δειόβης, Εὐρυβίας Πολύλαος, Πατροῦς Ἀρχέ-
μαχος, Μελίνης Λαομέδων, Κλυτίππης Εὐρύκαπυς, Εὐ-
3 ρύπυλος Εὐβώτης, Ἀγλαΐης Ἀντιάδης, Ὀνήσιππος Χρυ-

σηίδος, Ὀρείης Λαομένης, Τέλης Λυσιδίκης, Ἐντελίδης
Μενιππίδος, Ἀνθίππης Ἱπποδρόμος, Τελευταγόρας 4
Εὐρυ . . ., Καπύλος Ἵππωτος, Εὐβοίας Ὄλυμπος, Νίκης
Νικόδρομος, Ἀργέλης Κλεόλαος, Ἐξόλης Ἐρύθρας, Ξαν-
θίδος Ὁμόλιππος, Στρατονίκης Ἄτρομος, Κελευστάνωρ
Ἴφιδος, Λαοθόης Ἄντιφος, Ἀντιόπης Ἀλόπιος, Ἀστυ-
βίης Κλααμήτιδος, Φυληίδος Τίγασις, Αἰσχρηίδος Λευ- 5
κώνης, Ἀνθείας . . ., Εὐρυπύλης Ἀρχέδικος, Δυνάστης
Ἐρατοῦς, Ἀσωπίδος Μέντωρ, Ἠώνης Ἀμήστριος, Τιφύ-
σης Λυγκεύς, Ἁλοκράτης Ὀλυμπούσης, Ἑλικωνίδος 6
Φαλίας, Ἡσυχείης Οἰστρόβλης, Τερψικράτης Εὐρυόπης,
Ἐλαχείας Βουλεύς, Ἀντίμαχος Νικίππης, Πάτροκλος
Πυρίππης, Νῆφος Πραξιθέας, Λυσίππης Ἐράσιππος, 7
Λυκοῦργος [Λύκιος] Τοξικράτης, Βουκόλος Μάρσης,
Λεύκιππος Εὐρυτέλης, Ἱπποκράτης Ἱππόζυγος. οὗτοι
μὲν ἐκ τῶν Θεσπίου θυγατέρων, ἐκ δὲ τῶν ἄλλων, Δηια- 8
νείρας μὲν τῆς Οἰνέως Ὕλλος Κτήσιππος Γληνὸς Ὀνεί-
της, ἐκ Μεγάρας δὲ τῆς Κρέοντος Θηρίμαχος Δηικόων
Κρεοντιάδης, ἐξ Ὀμφάλης δὲ Ἀγέλαος, ὅθεν καὶ τὸ 9
Κροίσου γένος. Χαλκιόπης τῆς Εὐρυπύλου Θετταλός,
Ἐπικάστης τῆς Αὐγέου Θεστάλος, Παρθενόπης τῆς 10
Στυμφάλου Εὐήρης, Αὔγης τῆς Ἀλεοῦ Τήλεφος, Ἀστυό-
χης τῆς Φύλαντος Τληπόλεμος, Ἀστυδαμείας τῆς Ἀμύν-
τορος Κτήσιππος, Αὐτονόης τῆς Πειρέως Παλαίμων.

μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς οἱ παῖδες αὐ- 8
τοῦ φυγόντες Εὐρυσθέα πρὸς Κήυκα παρεγένοντο. ὡς
δὲ ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον
ἀπειλοῦντος ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες διὰ τῆς
Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας, καὶ 2
καθεσθέντες ἐπὶ τὸν ἐλέου βωμὸν ἠξίουν βοηθεῖσθαι.
Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς πρὸς τὸν Εὐρυσθέα
πόλεμον ὑπέστησαν, καὶ τοὺς μὲν παῖδας αὐτοῦ Ἀλέ-

ξανδρον Ἰφιμέδοντα Εὐρύβιον Μέντορα Περιμήδην
3 ἀπέκτειναν· αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρμα-
τος καὶ πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας κτείνει
διώξας Ὕλλος. καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν Ἀλκμήνῃ
δίδωσιν· ἣ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ.
2 ἀπολομένου δὲ Εὐρυσθέως ἐπὶ Πελοπόννησον ἦλ-
θον οἱ Ἡρακλεῖδαι, καὶ πάσας εἷλον τὰς πόλεις. ἐνιαυ-
τὸν δὲ αὐτοῖς ἐν τῇ καθόδῳ γενομένοις φθορὰ πᾶσαν
Πελοπόννησον κατέσχε, καὶ ταύτην γενέσθαι χρησμὸς
διὰ τοὺς Ἡρακλείδας ἐδήλου· πρὸ γὰρ τοῦ δέοντος αὐ-
2 τοὺς κατελθεῖν. ὅθεν ἀπολιπόντες Πελοπόννησον ἦλ-
θον εἰς Μαραθῶνα, κἀκεῖ κατῴκουν. Τληπόλεμος οὖν
κτείνας οὐχ ἑκὼν Λικύμνιον (τῇ βακτηρίᾳ γὰρ αὐτοῦ
θεράποντα πλήσσοντος ὑπέδραμε, πρὶν ἐξελθεῖν αὐτοὺς
ἐκ Πελοποννήσου) φεύγων οὖν μετ' οὐκ ὀλίγων ἧκεν
3 εἰς Ῥόδον, κἀκεῖ κατῴκει. Ὕλλος δὲ τὴν μὲν Ἰόλην
κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν ἔγημε, τὴν δὲ κάθοδον
ἐζήτει τοῖς Ἡρακλείδαις κατεργάσασθαι. διὸ παραγε-
νόμενος εἰς Δελφοὺς ἐπυνθάνετο πῶς ἂν κατέλθοιεν.
ὁ δὲ θεὸς ἔφησε περιμείναντας τὸν τρίτον καρπὸν
4 κατέρχεσθαι. νομίσας δὲ Ὕλλος τρίτον καρπὸν λέγε-
σθαι τὴν τριετίαν, τοσοῦτον περιμείνας χρόνον σὺν
τῷ στρατῷ κατῄει . . . τοῦ Ἡρακλέους ἐπὶ Πελοπόννη-
σον, Τισαμενοῦ τοῦ Ὀρέστου βασιλεύοντος Πελοπον-
νησίων. καὶ γενομένης πάλιν μάχης νικῶσι Πελοπον-
5 νήσιοι καὶ Ἀριστόμαχος θνήσκει. ἐπεὶ δὲ ἠνδρώθη-
σαν οἱ Κλεοδαίου παῖδες, ἐχρῶντο περὶ καθόδου. τοῦ
θεοῦ δὲ εἰπόντος ὅ τι καὶ τὸ πρότερον, Τήμενος ᾐτιᾶ-
6 το λέγων τούτῳ πεισθέντα ἀτυχῆσαι. ὁ δὲ θεὸς ἀντ-
εῖπε τῶν ἀτυχημάτων αὐτοὺς αἰτίους εἶναι· τοὺς γὰρ
χρησμοὺς οὐ συμβάλλειν· λέγειν γὰρ οὐ γῆς ἀλλὰ γενεᾶς
καρπὸν τρίτον, καὶ στενυγρὰν τὴν εὐρυγάστορα, δεξιὰν

κατὰ τὸν Ἰσθμὸν ἔχοντι τὴν θάλασσαν. ταῦτα Τήμενος 7
ἀκούσας ἡτοίμαζε τὸν στρατόν, καὶ ναῦς ἐπήξατο τῆς Λο-
κρίδος ἔνθα νῦν ἀπ' ἐκείνου ὁ τόπος Ναύπακτος λέγε-
ται. ἐκεῖ δὲ ὄντος τοῦ στρατεύματος Ἀριστόδημος κε-
ραυνωθεὶς ἀπέθανε, παῖδας καταλιπὼν ἐξ Ἀργείας τῆς
Αὐτεσίωνος διδύμους, Εὐρυσθένη καὶ Προκλέα. συνέβη 3
δὲ καὶ τὸν στρατὸν ἐν Ναυπάκτῳ συμφορᾷ περιπεσεῖν.
ἐφάνη γὰρ αὐτοῖς μάντις χρησμοὺς λέγων καὶ ἐνθεάζων,
ὃν ἐνόμισαν μάγον εἶναι ἐπὶ λύμῃ τοῦ στρατοῦ πρὸς Πε-
λοποννησίων ἀπεσταλμένον. τοῦτον βαλὼν ἀκοντίῳ Ἱπ- 2
πότης ὁ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους τυχὼν
ἀπέκτεινεν. οὕτω δὲ γενομένου τούτου τὸ μὲν ναυτικὸν
διαφθαρεισῶν τῶν νεῶν ἀπώλετο, τὸ δὲ πεζὸν ἠτύχησε
λιμῷ, καὶ διελύθη τὸ στράτευμα. χρωμένου δὲ περὶ τῆς 3
συμφορᾶς Τημένου, καὶ τοῦ θεοῦ διὰ τοῦ μάντεως γενέ-
σθαι ταῦτα λέγοντος, καὶ κελεύοντος φυγαδεῦσαι δέκα
ἔτη τὸν ἀνελόντα καὶ χρήσασθαι ἡγεμόνι τῷ τριοφθάλ-
μῳ, τὸν μὲν Ἱππότην ἐφυγάδευσαν, τὸν δὲ τριόφθαλμον
ἐζήτουν. καὶ περιτυγχάνουσιν Ὀξύλῳ τῷ Ἀνδραίμονος, 4
ἐφ' ἵππου καθημένῳ μονοφθάλμῳ (τὸν γὰρ ἕτερον τῶν
ὀφθαλμῶν ἐκκέκοπτο τόξῳ)· ἐπὶ φόνῳ γὰρ οὗτος φυ-
γὼν εἰς Ἦλιν, ἐκεῖθεν εἰς Αἰτωλίαν ἐνιαυτοῦ διελθόν-
τος ἐπανήρχετο. συμβαλόντες οὖν τὸν χρησμόν, τοῦτον 5
ἡγεμόνα ποιοῦνται. καὶ συμβαλόντες τοῖς πολεμίοις καὶ
τῷ πεζῷ καὶ τῷ ναυτικῷ προτεροῦσι στρατῷ, καὶ Τισα-
μενὸν κτείνουσι τὸν Ὀρέστου. θνήσκουσι δὲ συμμα-
χοῦντες αὐτοῖς οἱ Αἰγιμίου παῖδες, Πάμφυλος καὶ Δύμας.
ἐπειδὴ ἐκράτησαν Πελοποννήσου, τρεῖς ἱδρύσαντο 4
βωμοὺς πατρῴου Διός, καὶ ἐπὶ τούτων ἔθυσαν, καὶ ἐκλη-
ροῦντο τὰς πόλεις. πρώτη μὲν οὖν λῆξις Ἄργος, δευτέρα
Λακεδαίμων, τρίτη δὲ Μεσσήνη. κομισάντων δὲ ὑδρίαν
ὕδατος, ἔδοξε ψῆφον βαλεῖν ἕκαστον. Τήμενος οὖν καὶ 2

οἱ Ἀριστοδήμου παῖδες Προκλῆς καὶ Εὐρυσθένης ἔβα-
λον λίθους, Κρεσφόντης δὲ βουλόμενος Μεσσήνην λα-
χεῖν γῆς ἐνέβαλε βῶλον. ταύτης δὲ διαλυθείσης ἔδει
3 τοὺς δύο κλήρους ἀναφανῆναι. ἑλκυσθείσης δὲ πρώτης
μὲν τῆς Τημένου, δευτέρας δὲ τῆς τῶν Ἀριστοδήμου
5 παίδων, Μεσσήνην ἔλαβε Κρεσφόντης. ἐπὶ δὲ τοῖς βω-
μοῖς οἷς ἔθυσαν, εὗρον σημεῖα κείμενα οἱ μὲν λαχόντες
Ἄργος φρῦνον, οἱ δὲ Λακεδαίμονα λαχόντες δράκοντα,
2 οἱ δὲ Μεσσήνην ἀλώπεκα. περὶ δὲ τῶν σημείων ἔλεγον
οἱ μάντεις, τοῖς μὲν τὸν φρῦνον καταλαβοῦσιν ἐπὶ τῆς
πόλεως μένειν ἄμεινον (μὴ γὰρ ἔχειν ἀλκὴν πορευόμε-
νον τὸ θηρίον), τοὺς δὲ δράκοντα καταλαβόντας δεινοὺς
ἐπιόντας ἔλεγον ἔσεσθαι, τοὺς δὲ τὴν ἀλώπεκα δολίους.
3 Τήμενος μὲν οὖν παραπεμπόμενος τοὺς παῖδας
Ἀγέλαον καὶ Εὐρύπυλον καὶ Καλλίαν, τῇ θυγατρὶ προσ-
ανεῖχεν Ὑρνηθοῖ καὶ τῷ ταύτης ἀνδρὶ Δηιφόντῃ. ὅθεν
οἱ παῖδες πείθουσι Τιτᾶνας ἐπὶ μισθῷ τὸν πατέρα αὐ-
4 τῶν φονεῦσαι. γενομένου δὲ τοῦ φόνου τὴν βασιλείαν
ὁ στρατὸς ἔχειν ἐδικαίωσεν Ὑρνηθοῖ καὶ Δηιφόντῃ.
Κρεσφόντης δὲ οὐ πολὺν Μεσσήνης βασιλεύσας χρόνον
5 μετὰ δύο παίδων φονευθεὶς ἀπέθανε. Πολυφόντης δὲ
ἐβασίλευσεν, αὐτῶν τῶν Ἡρακλειδῶν ὑπάρχων, καὶ τὴν
τοῦ φονευθέντος γυναῖκα ἄκουσαν Μερόπην ἔλαβεν.
ἀνῃρέθη δὲ καὶ οὗτος. τρίτον γὰρ ἔχουσα παῖδα Μερόπη
καλούμενον Αἴπυτον ἔδωκε τῷ ἑαυτῆς πατρὶ τρέφειν.
6 οὗτος ἀνδρωθεὶς καὶ κρύφα κατελθὼν ἔκτεινε Πολυ-
φόντην καὶ τὴν πατρῴαν βασιλείαν ἀπέλαβεν.

8 Ἐπεὶ δὲ τὸ Ἰνάχειον διερχόμενοι γένος τοὺς ἀπὸ
Βήλου μέχρι τῶν Ἡρακλειδῶν δεδηλώκαμεν, ἐχομένως
λέγωμεν καὶ τὰ περὶ Ἀγήνορος. ὡς γὰρ ἡμῖν λέλεκται,
δύο Λιβύη ἐγέννησε παῖδας ἐκ Ποσειδῶνος, Βῆλον καὶ
2 Ἀγήνορα. Βῆλος μὲν οὖν βασιλεύων Αἰγυπτίων τοὺς

προειρημένους ἐγέννησεν, Ἀγήνωρ δὲ παραγενόμενος
εἰς Φοινίκην γαμεῖ Τηλέφασσαν καὶ τεκνοῖ θυγατέρα
μὲν Εὐρώπην, παῖδας δὲ Κάδμον καὶ Φοίνικα καὶ Κί-
λικα. τινὲς δὲ Εὐρώπην οὐκ Ἀγήνορος ἀλλὰ Φοίνικος
λέγουσι. ταύτης Ζεὺς ἐρασθείς, ταῦρος χειροήθης γενό- 3
μενος ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισεν εἰς
Κρήτην. ἡ δέ, ἐκεῖ συνευνασθέντος αὐτῇ Διός, ἐγέννησε
Μίνωα Σαρπηδόνα Ῥαδάμανθυν· καθ' Ὅμηρον δὲ
Σαρπηδὼν ἐκ Διὸς καὶ Λαοδαμείας τῆς Βελλεροφόντου.
ἀφανοῦς δὲ Εὐρώπης γενομένης ὁ πατὴρ αὐτῆς Ἀγήνωρ 4
ἐπὶ ζήτησιν ἐξέπεμψε τοὺς παῖδας, εἰπὼν μὴ πρότερον
ἀναστρέφειν πρὶν ἂν ἐξευρῶσιν Εὐρώπην. συνεξῆλθε
δὲ ἐπὶ τὴν ζήτησιν αὐτῆς Τηλέφασσα ἡ μήτηρ καὶ Θάσος
ὁ Ποσειδῶνος, ὡς δὲ Φερεκύδης φησὶ Κίλικος. ὡς δὲ 5
πᾶσαν ποιούμενοι ζήτησιν εὑρεῖν ἦσαν Εὐρώπην ἀδύ-
νατοι, τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπογνόντες ἄλλος ἀλ-
λαχοῦ κατῴκησαν, Φοῖνιξ μὲν ἐν Φοινίκῃ, Κίλιξ δὲ Φοι-
νίκης πλησίον, καὶ πᾶσαν τὴν ὑφ' ἑαυτοῦ κειμένην χώ-
ραν ποταμῷ σύνεγγυς Πυράμῳ Κιλικίαν ἐκάλεσε· Κάδ- 6
μος δὲ καὶ Τηλέφασσα ἐν Θρᾴκῃ κατῴκησαν. ὁμοίως δὲ
καὶ Θάσος ἐν Θρᾴκῃ κτίσας πόλιν Θάσον κατῴκησεν.

Εὐρώπην δὲ γήμας Ἀστερίων ὁ Κρητῶν δυνάστης 2
τοὺς ἐκ ταύτης παῖδας ἔτρεφεν. οἱ δὲ ὡς ἐτελειώθησαν,
πρὸς ἀλλήλους ἐστασίασαν· ἴσχουσι γὰρ ἔρωτα παιδὸς
ὃς ἐκαλεῖτο Μίλητος, Ἀπόλλωνος δὲ ἦν καὶ Ἀρείας τῆς
Κλεόχου. τοῦ δὲ παιδὸς πρὸς Σαρπηδόνα μᾶλλον οἰκείως 2
ἔχοντος πολεμήσας Μίνως ἐπροτέρησεν. οἱ δὲ φεύγουσι,
καὶ Μίλητος μὲν Καρίᾳ προσσχὼν ἐκεῖ πόλιν ἀφ' ἑαυ-
τοῦ ἔκτισε Μίλητον, Σαρπηδὼν δὲ συμμαχήσας Κίλικι
πρὸς Λυκίους ἔχοντι πόλεμον, ἐπὶ μέρει τῆς χώρας, Λυ-
κίας ἐβασίλευσε. καὶ αὐτῷ δίδωσι Ζεὺς ἐπὶ τρεῖς γενεὰς 3
ζῆν. ἔνιοι δὲ αὐτὸν ἐρασθῆναι λέγουσιν Ἀτυμνίου τοῦ

Διὸς καὶ Κασσιεπείας, καὶ διὰ τοῦτον στασιάσαι. Ῥαδάμανθυς δὲ τοῖς νησιώταις νομοθετῶν, αὖθις φυγὼν εἰς Βοιωτίαν Ἀλκμήνην γαμεῖ, καὶ μεταλλάξας ἐν Ἅιδου
4 μετὰ Μίνωος δικάζει. Μίνως δὲ Κρήτην κατοικῶν ἔγραψε νόμους, καὶ γήμας Πασιφάην τὴν Ἡλίου καὶ Περσηΐδος, ὡς δὲ Ἀσκληπιάδης φησί, Κρήτην τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν ἐτέκνωσε Κατρέα Δευκαλίωνα
5 Γλαῦκον Ἀνδρόγεων, θυγατέρας δὲ Ἀκάλλην Ξενοδίκην Ἀριάδνην Φαίδραν, ἐκ Παρείας δὲ νύμφης Εὐρυμέδοντα Νηφαλίωνα Χρύσην Φιλόλαον, ἐκ δὲ Δεξιθέας Εὐξάνθιον.

3 Ἀστερίωνος δὲ ἄπαιδος ἀποθανόντος Μίνως βασιλεύειν θέλων Κρήτης ἐκωλύετο. φήσας δὲ παρὰ θεῶν τὴν βασιλείαν εἰληφέναι, χάριν τοῦ πιστευθῆναι ἔφη,
2 ὅ τι ἂν εὔξηται, γενέσθαι. καὶ Ποσειδῶνι θύων ηὔξατο ταῦρον ἀναφανῆναι ἐκ τῶν βυθῶν, ὑποσχόμενος καταθύσειν τὸν φανέντα. τοῦ δὲ Ποσειδῶνος ταῦρον ἀνέντος αὐτῷ διαπρεπῆ τὴν βασιλείαν παρέλαβε, τὸν δὲ ταῦρον εἰς τὰ βουκόλια πέμψας ἔθυσεν ἕτερον. θαλασσοκρατήσας δὲ πρῶτος πασῶν τῶν νήσων σχεδὸν ἐπῆρξεν.
4 ὀργισθεὶς δὲ αὐτῷ Ποσειδῶν ὅτι μὴ κατέθυσε τὸν ταῦρον, τοῦτον μὲν ἐξηγρίωσε, Πασιφάην δὲ ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ παρεσκεύασεν. ἡ δὲ ἐρασθεῖσα τοῦ ταύρου συνεργὸν λαμβάνει Δαίδαλον, ὃς ἦν ἀρχιτέκτων
2 πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. οὗτος ξυλίνην βοῦν ἐπὶ τροχῶν κατασκευάσας, καὶ ταύτην βαλὼν καὶ κοιλάνας ἔσωθεν, ἐκδείρας τε βοῦν τὴν δορὰν περιέρραψε, καὶ θεὶς ἐν ᾧπερ εἴθιστο ὁ ταῦρος λειμῶνι βόσκεσθαι,
3 τὴν Πασιφάην ἐνεβίβασεν. ἐλθὼν δὲ ὁ ταῦρος ὡς ἀληθινῇ βοῒ συνῆλθεν. ἡ δὲ Ἀστέριον ἐγέννησε τὸν κληθέντα Μινώταυρον. οὗτος εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός· Μίνως δὲ ἐν τῷ λαβυρίνθῳ κατά

τινας χρησμοὺς κατακλείσας αὐτὸν ἐφύλαττεν. ἦν δὲ ὁ 4
λαβύρινθος, ὃν Δαίδαλος κατεσκεύασεν, οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον.

τὰ μὲν οὖν περὶ Μινωταύρου καὶ Ἀνδρόγεω καὶ Φαίδρας καὶ Ἀριάδνης ἐν τοῖς περὶ Θησέως ὕστερον ἐροῦμεν· Κατρέως δὲ τοῦ Μίνωος Ἀερόπη καὶ Κλυμένη 2
καὶ Ἀπημοσύνη καὶ Ἀλθαιμένης υἱὸς γίνονται. χρωμένῳ δὲ Κατρεῖ περὶ καταστροφῆς τοῦ βίου ὁ θεὸς ἔφη ὑπὸ ἑνὸς τῶν παίδων τεθνήξεσθαι. Κατρεὺς μὲν οὖν 2
ἀπεκρύβετο τοὺς χρησμούς, Ἀλθαιμένης δὲ ἀκούσας, καὶ δείσας μὴ φονεὺς γένηται τοῦ πατρός, ἄρας ἐκ Κρήτης μετὰ τῆς ἀδελφῆς Ἀπημοσύνης προσίσχει τινὶ τόπῳ τῆς Ῥόδου, καὶ κατασχὼν Κρητηνίαν ὠνόμασεν. ἀναβὰς δὲ 3
ἐπὶ τὸ Ἀταβύριον καλούμενον ὄρος ἐθεάσατο τὰς πέριξ νήσους, κατιδὼν δὲ καὶ Κρήτην, καὶ τῶν πατρῴων ὑπομνησθεὶς θεῶν, ἱδρύετο βωμὸν Ἀταβυρίου Διός. μετ᾽ οὐ πολὺ δὲ τῆς ἀδελφῆς αὐτόχειρ ἐγένετο. Ἑρμῆς γὰρ 4
αὐτῆς ἐρασθείς, ὡς φεύγουσαν αὐτὴν καταλαβεῖν οὐκ ἠδύνατο (περιῆν γὰρ αὐτοῦ τῷ τάχει τῶν ποδῶν), κατὰ τῆς ὁδοῦ βύρσας ὑπέστρωσε νεοδάρτους, ἐφ᾽ ἃς ὀλισθήσασα, ἡνίκα ἀπὸ τῆς κρήνης ἐπανῄει, φθείρεται. καὶ τῷ ἀδελφῷ μηνύει τὸ γεγονός· ὁ δὲ σκῆψιν νομίσας εἶναι τὸν θεόν, λὰξ ἐνθορὼν ἀπέκτεινεν. Ἀερόπην δὲ καὶ 2
Κλυμένην Κατρεὺς Ναυπλίῳ δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπολῆσαι. τούτων Ἀερόπην μὲν ἔγημε Πλεισθένης, καὶ παῖδας Ἀγαμέμνονα καὶ Μενέλαον ἔτεκε, Κλυμένην δὲ γαμεῖ Ναύπλιος, καὶ τέκνων πατὴρ γίνεται Οἴακος καὶ Παλαμήδους. Κατρεὺς δὲ ὕστερον 2
γήρᾳ κατεχόμενος ἐπόθει τὴν βασιλείαν Ἀλθαιμένει τῷ παιδὶ παραδοῦναι, καὶ διὰ τοῦτο ἦλθεν εἰς Ῥόδον. ἀποβὰς δὲ τῆς νεὼς σὺν τοῖς Κρησὶ κατά τινα τῆς νήσου τόπον ἔρημον ἠλαύνετο ὑπὸ τῶν βουκόλων, λῃστὰς ἐμβε-

3 βληκέναι δοκούντων, καὶ μὴ δυναμένων ἀκοῦσαι λέ-
γοντος αὐτοῦ τὴν ἀλήθειαν διὰ τὴν κραυγὴν τῶν κυνῶν.
ἀλλὰ βαλλόντων κἀκείνων, παραγενόμενος Ἀλθαιμένης
ἀκοντίσας ἀπέκτεινεν ἀγνοῶν Κατρέα. μαθὼν δὲ ὕστε-
ρον τὸ γεγονός, εὐξάμενος ὑπὸ χάσματος ἐκρύβη.

3 Δευκαλίωνι δὲ ἐγένοντο Ἰδομενεύς τε καὶ Κρήτη
καὶ νόθος ὁ Μόλος. Γλαῦκος δὲ ἔτι νήπιος ὑπάρχων,
μυῖαν διώκων εἰς μέλιτος πίθον πεσὼν ἀπέθανεν. ἀφα-
νοῦς δὲ ὄντος αὐτοῦ Μίνως πολλὴν ζήτησιν ποιούμενος
2 περὶ τῆς εὑρήσεως ἐμαντεύετο. Κούρητες δὲ εἶπον αὐ-
τῷ τριχρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βοῦν, τὸν δὲ τὴν
ταύτης θέαν ἄριστα εἰκάσαι δυνηθέντα καὶ ζῶντα τὸν
3 παῖδα ἀποδώσειν. συγκληθέντων δὲ τῶν μάντεων Πο-
λύιδος ὁ Κοιρανοῦ τὴν χρόαν τῆς βοὸς εἴκασε βάτου
καρπῷ, καὶ ζητεῖν τὸν παῖδα ἀναγκασθεὶς διά τινος μαν-
τείας ἀνεῦρε. λέγοντος δὲ Μίνωος ὅτι δεῖ καὶ ζῶντα ἀπο-
4 λαβεῖν αὐτόν, ἀπεκλείσθη σὺν τῷ νεκρῷ. ἐν ἀμηχανίᾳ
δὲ πολλῇ τυγχάνων εἶδε δράκοντα ἐπὶ τὸν νεκρὸν ἰόντα·
τοῦτον βαλὼν λίθῳ ἀπέκτεινε, δείσας μὴ κἂν αὐτὸς τε-
λευτήσῃ, εἴ τι τὸ σῶμα πάθοι. ἔρχεται δὲ ἕτερος δρά-
κων, καὶ θεασάμενος νεκρὸν τὸν πρῶτον ἄπεισιν, εἶτα
ὑποστρέφει πόαν κομίζων, καὶ ταύτην ἐπιτίθησιν ἐπὶ
πᾶν τὸ τοῦ ἑτέρου σῶμα· ἐπιτεθείσης δὲ τῆς πόας ἀν-
5 έστη. θεασάμενος δὲ Πολύιδος καὶ θαυμάσας, τὴν αὐτὴν
πόαν προσενεγκὼν τῷ τοῦ Γλαύκου σώματι ἀνέστησεν.
2 ἀπολαβὼν δὲ Μίνως τὸν παῖδα οὐδ' οὕτως εἰς Ἄργος
ἀπιέναι τὸν Πολύιδον εἴα, πρὶν ἢ τὴν μαντείαν διδάξαι
τὸν Γλαῦκον· ἀναγκασθεὶς δὲ ὁ Πολύιδος διδάσκει. καὶ
ἐπειδὴ ἀπέπλει, κελεύει τὸν Γλαῦκον εἰς τὸ στόμα ἐμ-
πτύσαι· καὶ τοῦτο ποιήσας Γλαῦκος τὴν μαντείαν ἐπ-
ελάθετο.

τὰ μὲν οὖν περὶ τῶν τῆς Εὐρώπης ἀπογόνων μέχρι

τοῦδέ μοι λελέχθω· Κάδμος δὲ ἀποθανοῦσαν θάψας 4
Τηλέφασσαν, ὑπὸ Θρᾳκῶν ξενισθείς, ἦλθεν εἰς Δελφοὺς
περὶ τῆς Εὐρώπης πυνθανόμενος. ὁ δὲ θεὸς εἶπε περὶ
μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ
βοΐ, καὶ πόλιν κτίζειν ἔνθα ἂν αὐτὴ πέσῃ καμοῦσα.
τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο, εἶτα 2
βοῒ συντυχὼν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ κατ-
όπισθεν εἵπετο. ἣ δὲ διεξιοῦσα Βοιωτίαν ἐκλίθη, πόλις
ἔνθα νῦν εἰσὶ Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ καταθῦσαι 3
τὴν βοῦν, πέμπει τινὰ τῶν μεθ' ἑαυτοῦ ληψόμενον ἀπὸ
τῆς Ἀρείας κρήνης ὕδωρ· φρουρῶν δὲ τὴν κρήνην δρά-
κων, ὃν ἐξ Ἄρεος εἶπόν τινες γεγονέναι, τοὺς πλείονας
τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος 4
κτείνει τὸν δράκοντα, καὶ τῆς Ἀθηνᾶς ὑποθεμένης τοὺς
ὀδόντας αὐτοῦ σπείρει. τούτων δὲ σπαρέντων ἀνέτειλαν
ἐκ γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. οὗτοι δὲ
ἀπέκτειναν ἀλλήλους, οἳ μέν (φασιν) εἰς ἔριν ἀκούσιον
ἐλθόντες, οἳ δὲ ἀλλήλους ἀγνοοῦντες. Φερεκύδης δέ φησιν 5
ὅτι Κάδμος ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους,
ἐπ' αὐτοὺς ἔβαλε λίθους, οἳ δὲ ὑπ' ἀλλήλων νομίζοντες
βάλλεσθαι εἰς μάχην κατέστησαν. περιεσώθησαν δὲ
πέντε, Ἐχίων Οὐδαῖος Χθονίος Ὑπερήνωρ Πέλωρ. Κάδ- 2
μος δὲ ἀνθ' ὧν ἔκτεινεν Ἄρεος ἴδιον, ἐνιαυτὸν ἐθήτευ-
σεν Ἄρει. ἦν δὲ ὁ ἐνιαυτὸς τότε ὀκτὼ ἔτη.

μετὰ δὲ τὴν θητείαν Ἀθηνᾶ αὐτῷ βασιλείαν κατ- 2
εσκεύασε, Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν,
Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα. καὶ πάντες θεοὶ κατα-
λιπόντες τὸν οὐρανόν, ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχού-
μενοι καθύμνησαν. ἔδωκε δὲ αὐτῇ Κάδμος πέπλον καὶ 3
τὸν ἡφαιστότευκτον ὅρμον, ὃν ὑπὸ Ἡφαίστου λέγουσί
τινες δοθῆναι Κάδμῳ, Φερεκύδης δὲ ὑπὸ Εὐρώπης· ὃν
παρὰ Διὸς αὐτὴν λαβεῖν. γίνονται δὲ Κάδμῳ θυγατέρες 4

μὲν Αὐτονόη Ἰνὼ Σεμέλη Ἀγαυή, παῖς δὲ Πολύδωρος.
Ἰνὼ μὲν οὖν Ἀθάμας ἔγημεν, Αὐτονόην δὲ Ἀρισταῖος,
3 Ἀγαυὴν Ἐχίων. Σεμέλης δὲ Ζεὺς ἐρασθεὶς κρύφα συν-
ευνάζεται. ἣ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, κατανεύσαν-
τος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιήσειν, αἰτεῖται τοιοῦ-
τον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν.
2 Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι, παραγίνεται εἰς τὸν
θάλαμον αὐτῆς ἐφ᾽ ἅρματος ἀστραπαῖς ὁμοῦ καὶ βρον-
ταῖς, καὶ κεραυνόν ἵησιν. Σεμέλης δὲ διὰ τὸν φόβον
ἐκλιπούσης, ἑξαμηνιαῖον βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ
3 πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἀποθανούσης δὲ
Σεμέλης, αἱ λοιπαὶ Κάδμου θυγατέρες διήνεγκαν λό-
γον, συνευνῆσθαι θνητῷ τινὶ Σεμέλην καὶ καταψεύσα-
4 σθαι Διός, καὶ διὰ τοῦτο ἐκεραυνώθη. κατὰ δὲ τὸν χρό-
νον τὸν καθήκοντα Διόνυσον γεννᾷ Ζεὺς λύσας τὰ ῥάμ-
ματα, καὶ δίδωσιν Ἑρμῇ. ὃ δὲ κομίζει πρὸς Ἰνὼ καὶ
5 Ἀθάμαντα, καὶ πείθει τρέφειν ὡς κόρην. ἀγανακτή-
σασα δὲ Ἥρα μανίαν αὐτοῖς ἐνέβαλε, καὶ Ἀθάμας μὲν
τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλαφον θηρεύσας
ἀπέκτεινεν, Ἰνὼ δὲ τὸν Μελικέρτην εἰς πεπυρωμένον
λέβητα ῥίψασα, εἶτα βαστάσασα μετὰ νεκροῦ τοῦ παι-
6 δὸς ἥλατο κατὰ βυθῶν. καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖ-
ται, Παλαίμων δὲ ὁ παῖς, οὕτως ὀνομασθέντες ὑπὸ τῶν
πλεόντων· τοῖς χειμαζομένοις γὰρ βοηθοῦσιν. ἐτέθη δὲ
ἐπὶ Μελικέρτῃ ἀγὼν τῶν Ἰσθμίων, Σισύφου θέντος.
7 Διόνυσον δὲ Ζεὺς εἰς ἔριφον ἀλλάξας τὸν Ἥρας θυμὸν
ἔκλεψε, καὶ λαβὼν αὐτὸν Ἑρμῆς πρὸς νύμφας ἐκόμισεν
ἐν Νύσῃ τῆς Ἀσίας κατοικούσας, ἃς ὕστερον Ζεὺς κατα-
στερίσας ὠνόμασεν Ὑάδας.

4 Αὐτονόης δὲ καὶ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο,
ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη, καὶ ὕστε-
ρον κατεβρώθη ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν.

καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσί- 2
λαος λέγει, μηνίσαντος τοῦ Διὸς ὅτι ἐμνηστεύσατο Σε-
μέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην 3
εἶδε. καὶ φασὶ τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν
εἰς ἔλαφον ἀλλάξαι, καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα
κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ᾽ ὧν κατὰ ἄγνοιαν ἐβρώθη.
ἀπολομένου δὲ Ἀκταίονος οἱ κύνες ἐπιζητοῦντες τὸν 4
δεσπότην κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι παρεγέ-
νοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδωλον κατ-
εσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσε.*)

Διόνυσος δὲ εὑρετὴς ἀμπέλου γενόμενος, Ἥρας 5
μανίαν αὐτῷ ἐμβαλούσης περιπλανᾶται Αἴγυπτόν τε καὶ
Συρίαν. καὶ τὸ μὲν πρῶτον Πρωτεὺς αὐτὸν ὑποδέχεται
βασιλεὺς Αἰγυπτίων, αὖθις δὲ εἰς Κύβελα τῆς Φρυγίας 2
ἀφικνεῖται, κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας καὶ τὰς τελετὰς
ἐκμαθών, καὶ λαβὼν παρ᾽ ἐκείνης τὴν στολήν, ἐπὶ Ἰν-
δοὺς διὰ τῆς Θρᾴκης ἠπείγετο. Λυκοῦργος δὲ παῖς 3
Δρύαντος, Ἠδωνῶν βασιλεύων, οἳ Στρυμόνα ποταμὸν
παροικοῦσι, πρῶτος ὑβρίσας ἐξέβαλεν αὐτόν. καὶ Διό-
νυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν τὴν Νηρέως κατ-
έφυγε, Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι καὶ τὸ συνεπό-

---

*) τὰ ὀνόματα τῶν Ἀκταίονος κυνῶν. ἐξ ὧν οὗτοι . . . 5
δὴ νῦν καλὸν σῶμα περισταδόν, ἠύτε θῆρες,
τοῦδε δάσαντο κύνες κρατεροί. πέλας Ἄρκυα πρώτη.
. . . μετὰ ταύτην ἄλκιμα τέκνα,
Λυγκεὺς καὶ βαιὸς πόδας Αἰνετός, ἠδ᾽ Ἀμάρυνθος.
καὶ οὓς ὀνομαστὶ διήνεγκεν, ὡς καταλέξῃ, 6
καὶ τότε Ἀκταίων ἔθανεν Διὸς αἰνεσίῃσι.
πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ᾽ Ὠμαργός τε Βορῆς τ᾽ αἰψηροκέλευθος.
τοῦ δ᾽ Ἀκταίωνος πρῶτοι φάγον, αἷμα δ᾽ ἔλαψαν.
τοὺς δὲ μέτ᾽ ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες.
ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν.

4 μενον Σατύρων πλῆθος. αὖθις δὲ αἱ Βάκχαι ἐλύθησαν
ἐξαίφνης, Λυκούργῳ δὲ μανίαν ἐνεποίησε Διόνυσος. ὃ
δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων
κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε, καὶ ἀκρωτη-
5 ριάσας αὐτὸν ἐσωφρόνησε. τῆς δὲ γῆς ἀκάρπου μενού-
σης, ἔχρησεν ὁ θεὸς καρποφορήσειν αὐτήν, ἂν θανα-
τωθῇ Λυκοῦργος. Ἠδωνοὶ δὲ ἀκούσαντες εἰς τὸ Παγ-
γαῖον αὐτὸν ἀπαγαγόντες ὄρος ἔδησαν, κἀκεῖ κατὰ
Διονύσου βούλησιν ὑπὸ ἵππων διαφθαρεὶς ἀπέθανε.

2 διελθὼν δὲ Θρᾴκην καὶ τὴν Ἰνδικὴν ἅπασαν, στή-
λας ἐκεῖ στήσας ἧκεν εἰς Θήβας, καὶ τὰς γυναῖκας
ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ
2 Κιθαιρῶνι. Πενθεὺς δὲ γεννηθεὶς ἐξ Ἀγαυῆς Ἐχίονι,
παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν, διεκώλυε ταῦτα
γίνεσθαι, καὶ παραγενόμενος εἰς Κιθαιρῶνα τῶν Βακ-
χῶν κατάσκοπος ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίαν
3 ἐμελεΐσθη· ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. δείξας δὲ
Θηβαίοις ὅτι θεός ἐστιν, ἧκεν εἰς Ἄργος, κἀκεῖ πάλιν
οὐ τιμώντων αὐτὸν ἐξέμηνε τὰς γυναῖκας. αἱ δὲ ἐν
τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας τὰς σάρ-
3 κας αὐτῶν ἐσιτοῦντο. βουλόμενος δὲ ἀπὸ τῆς Ἰκαρίας
εἰς Νάξον διακομισθῆναι, Τυρρηνῶν ληστρικὴν ἐμισθώ-
σατο τριήρη. οἱ δὲ αὐτὸν ἐνθέμενοι Νάξον μὲν παρ-
2 έπλεον, ἠπείγοντο δὲ εἰς Ἀσίαν ἀπεμπολήσοντες. ὃ δὲ
τὸν μὲν ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ δὲ
σκάφος ἔπλησε κισσοῦ καὶ βοῆς αὐλῶν· οἱ δὲ ἐμμανεῖς
γενόμενοι κατὰ τῆς θαλάττης ἔφυγον καὶ ἐγένοντο δελ-
3 φῖνες. ὡς δὲ μαθόντες αὐτὸν θεὸν ἄνθρωποι ἐτίμων,
ὃ δὲ ἀναγαγὼν ἐξ Ἅιδου τὴν μητέρα, καὶ προσαγορεύσας
Θυώνην, μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν.

4 ὁ δὲ Κάδμος μετὰ Ἁρμονίας Θήβας ἐκλιπὼν πρὸς
Ἐγχέλεας παραγίνεται. τούτοις δὲ ὑπὸ Ἰλλυριῶν πολε-

μουμένοις ὁ θεὸς ἔχρησεν Ἰλλυριῶν κρατήσειν, ἐὰν
ἡγεμόνα Κάδμον καὶ Ἁρμονίαν ἔχωσιν. οἱ δὲ πεισθέν- 2
τες ποιοῦνται κατὰ Ἰλλυριῶν ἡγεμόνας τούτους, καὶ
κρατοῦσι. καὶ βασιλεύει Κάδμος Ἰλλυριῶν, καὶ παῖς
Ἰλλυριὸς αὐτῷ γίνεται. αὖθις δὲ μετὰ Ἁρμονίας εἰς
δράκοντα μεταβαλὼν εἰς Ἠλύσιον πεδίον ὑπὸ Διὸς ἐξ-
επέμφθησαν.

Πολύδωρος δὲ Θηβῶν βασιλεὺς γενόμενος Νυκτηί- 5
δα γαμεῖ, Νυκτέως τοῦ Χθονίου θυγατέρα, καὶ γεννᾷ
Λάβδακον. οὗτος ἀπώλετο μετὰ Πενθέα, ἐκείνῳ φρο-
νῶν παραπλήσια. καταλιπόντος δὲ Λαβδάκου παῖδα 2
ἐνιαυσιαῖον Λάιον, τὴν ἀρχὴν ἀφείλετο Λύκος, ἕως
οὗτος ἦν παῖς, ἀδελφὸς ὢν Νυκτέως. ἀμφότεροι δὲ 3
ἀπὸ Εὐβοίας φυγόντες ἐπεὶ Φλεγύαν ἀπέκτειναν τὸν
Ἄρεος καὶ Δωτίδος τῆς Βοιωτίδος, Ὑρίαν κατῴκουν,
καὶ διὰ τὴν πρὸς Πενθέα οἰκειότητα ἐγεγόνεισαν πολῖται.
αἱρεθεὶς οὖν Λύκος πολέμαρχος ὑπὸ Θηβαίων ἐπετίθετο 4
τῇ δυναστείᾳ, καὶ βασιλεύσας ἔτη εἴκοσι, φονευθεὶς ὑπὸ
Ζήθου καὶ Ἀμφίονος θνήσκει δι' αἰτίαν τήνδε. Ἀντιό- 5
πη θυγάτηρ ἦν Νυκτέως· ταύτῃ Ζεὺς συνῆλθεν. ἣ δὲ
ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνα
ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυ- 6
κτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὴν Λύκῳ
παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὃ δὲ
στρατευσάμενος Σικυῶνα χειροῦται, καὶ τὸν μὲν Ἐπω-
πέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἣ δὲ 7
ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς τῆς Βοιωτίας,
οὓς ἐκκειμένους εὑρὼν βουκόλος ἀνατρέφει, καὶ τὸν
μὲν καλεῖ Ζῆθον τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπ-
εμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει,
δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾐκίζετο Λύκος 8
καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε,

τῶν δεσμῶν αὐτομάτως λυθέντων, ἧκεν ἐπὶ τὴν τῶν
9 παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἱ δὲ
ἀναγνωρισάμενοι τὴν μητέρα, τὸν μὲν Λύκον κτείνουσι,
τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου θανοῦσαν ῥίπτου-
σιν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην.
10 παραλαβόντες δὲ τὴν δυναστείαν τὴν μὲν πόλιν ἐτείχι-
σαν, ἐπακολουθησάντων τῇ Ἀμφίονος λύρᾳ τῶν λίθων,
Λάιον δὲ ἐξέβαλον. ὃ δὲ ἐν Πελοποννήσῳ διατελῶν
ἐπιξενοῦται Πέλοπι, καὶ τούτου παῖδα Χρύσιππον ἁρ-
ματοδρομεῖν διδάσκων ἐρασθεὶς ἀναρπάζει.

6 γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς ἡ πόλις Θῆβαι,
Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν
ἑπτά, Σίπυλον Εὐπίνυτον Ἰσμηνὸν Δαμασίχθονα Ἀγή-
νορα Φαίδιμον Τάνταλον, θυγατέρας δὲ τὰς ἴσας,
Ἐθοδαΐαν (ἢ ὥς τινες Νέαιραν) Κλεοδόξην Ἀστυόχην
2 Φθίαν Πελοπίαν Ἀστυκράτειαν Ὠγυγίαν. Ἡσίοδος δὲ
δέκα μὲν υἱοὺς δέκα δὲ θυγατέρας, Ἡρόδωρος δὲ δύο
μὲν ἄρρενας τρεῖς δὲ θηλείας, Ὅμηρος δὲ ἓξ μὲν υἱοὺς
ἓξ δὲ θυγατέρας φησὶ γενέσθαι. εὔτεκνος δὲ οὖσα Νιό-
3 βη τῆς Λητοῦς εὐτεκνοτέρα εἶπεν ὑπάρχειν· Λητὼ δὲ
ἀγανακτήσασα τήν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα κατ'
αὐτῶν παρώξυνε, καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας
κατετόξευσεν Ἄρτεμις, τοὺς δὲ ἄρρενας κοινῇ πάντας
4 ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετοῦντας ἀπέκτεινεν. ἐσώ-
θη δὲ τῶν μὲν ἀρρένων Ἀμφίων, τῶν δὲ θηλειῶν Χλῶ-
ρις ἡ πρεσβυτέρα, ᾗ Νηλεὺς συνῴκησε. κατὰ δὲ Τε-
λέσιλλαν ἐσώθησαν Ἀμύκλα καὶ Μελίβοια, ἐτοξεύθη δὲ
5 ὑπ' αὐτῶν καὶ Ἀμφίων. αὐτὴ δὲ Νιόβη Θήβας ἀπο-
λιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σίπυλον,
κἀκεῖ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέβαλε, καὶ
χεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν τοῦ λίθου.

7 μετὰ δὲ τὴν Ἀμφίονος τελευτὴν Λάιος τὴν βασι-

λείαν παρέλαβε, καὶ γήμας θυγατέρα Μενοικέως, ἣν
ἔνιοι μὲν Ἰοκάστην ἔνιοι δὲ Ἐπικάστην λέγουσι, χρή-
σαντος τοῦ θεοῦ μὴ γεννᾶν (τὸν γεννηθέντα γὰρ πα-
τροκτόνον ἔσεσθαι) ὃ δὲ οἰνωθεὶς συνῆλθε τῇ γυναικί.
καὶ τὸ γεννηθὲν ἐκθεῖναι δίδωσι νομεῖ, περόναις δια- 2
τρήσας τὰ σφυρά. ἀλλ' οὗτος μὲν ἐξέθηκεν εἰς Κιθαι-
ρῶνα, Πολύβου δὲ βουκόλοι, τοῦ Κορινθίων βασιλέως,
τὸ βρέφος εὑρόντες πρὸς τὴν αὑτοῦ γυναῖκα Περίβοιαν
ἤνεγκαν. ἣ δὲ ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσα- 3
σα τὰ σφυρὰ Οἰδίπουν καλεῖ, τοῦτο θεμένη τὸ ὄνομα
διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι. τελειωθεὶς δὲ ὁ παῖς,
καὶ διαφέρων τῶν ἡλίκων ἐν ῥώμῃ, διὰ φθόνον ὠνει-
δίζετο ὑπόβλητος. ὃ δὲ πυνθανόμενος παρὰ τῆς Περι- 4
βοίας μαθεῖν οὐκ ἐδύνατο· ἀφικόμενος δὲ εἰς Δελφοὺς
περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων. ὁ δὲ θεὸς εἶπεν
αὐτῷ εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ
πατέρα φονεύσειν, τῇ δὲ μητρὶ μιγήσεσθαι. τοῦτο ἀκού- 5
σας, καὶ νομίζων ἐξ ὧν ἐλέγετο γεγεννῆσθαι, Κόρινθον
μὲν ἀπέλιπεν, ἐφ' ἅρματος δὲ διὰ τῆς Φωκίδος φερό-
μενος συντυγχάνει κατά τινα στενὴν ὁδὸν ἐφ' ἅρματος
ὀχουμένῳ Λαΐῳ καὶ Πολυφόντῃ· κῆρυξ δὲ οὗτος ἦν
Λαΐου. καὶ κελεύσαντος ἐκχωρεῖν, καὶ δι' ἀπείθειαν καὶ 6
ἀναβολὴν κτείναντος τῶν ἵππων τὸν ἕτερον, ἀγανακτή-
σας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάιον ἀπέκτεινε, καὶ
παρεγένετο εἰς Θήβας. Λάιον μὲν οὖν θάπτει βασιλεὺς 8
Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων
ὁ Μενοικέως παραλαμβάνει. τούτου δὲ βασιλεύοντος
οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε γὰρ Ἥρα 2
Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν πατρὸς δὲ Τυφῶνος,
εἶχε δὲ πρόσωπον μὲν γυναικός, στῆθος δὲ καὶ βάσιν
καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. μαθοῦσα δὲ 3
αἴνιγμα παρὰ μουσῶν ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο,

καὶ τοῦτο προύτεινε Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα, τί
ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρί-
4 πουν γίνεται; χρησμοῦ δὲ Θηβαίοις ὑπάρχοντος τηνι-
καῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγὸς ἡνίκα ἂν τὸ αἴνιγμα
λύσωσι, καὶ συνιόντες εἰς αὐτὸ πολλάκις, ἐξήτει τί τὸ
λεγόμενόν ἐστιν, ἐπὰν δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα
5 κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων, καὶ τὸ τελευ-
ταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ
αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώ-
6 σειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν, εἰπὼν τὸ
αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπον εἶναι·
γεννᾶσθαι ⟨μὲν⟩ γὰρ τετράπουν βρέφος τοῖς τέτταρσιν
ὀχούμενον κώλοις, τελειούμενον δὲ τὸν ἄνθρωπον δί-
πουν ⟨εἶναι⟩, γηρῶντα δὲ τρίτην προσλαμβάνειν βάσιν
7 τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυ-
τὴν ἔρριψεν, Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παρέλαβε
καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν, καὶ παῖδας ἐτέκνωσεν
ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα, θυγατέρας δὲ Ἰσμή-
νην καὶ Ἀντιγόνην. εἰσὶ δὲ οἳ γεννηθῆναι τὰ τέκνα φασὶν
9 ἐξ Εὐρυγανείας αὐτῷ τῆς Ὑπέρφαντος. φανέντων δὲ
ὕστερον τῶν λανθανόντων, Ἰοκάστη μὲν ἐξ ἀγχόνης
ἑαυτὴν ἀνήρτησεν, Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας ἐκ
Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος, οἳ τῆς πόλεως
2 αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ ἐπήμυναν. παρα-
γενόμενος δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνόν,
ἔνθα τὸ τῶν Εὐμενίδων ἔστι τέμενος, καθίζει ἱκέτης, προσ-
δεχθεὶς ὑπὸ Θησέως, καὶ μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.

6 Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας
συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτε-
ρον παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν λέγουσι πρῶ-
τον ἄρξαντος Πολυνείκους παραδοῦναι μετ' ἐνιαυτὸν
τὴν βασιλείαν Ἐτεοκλεῖ, τινὲς δὲ πρῶτον Ἐτεοκλέους

ἄρξαντος μὴ βούλεσθαι παραδοῦναι τὴν βασιλείαν. φυ- 2
γαδευθεὶς οὖν Πολυνείκης ἐκ Θηβῶν ἧκεν εἰς Ἄργος,
τόν τε ὅρμον καὶ τὸν πέπλον ἔχων. ἐβασίλευε δὲ Ἄρ-
γους Ἄδραστος ὁ Ταλαοῦ· καὶ τοῖς τούτου βασιλείοις
νύκτωρ προσπελάζει, καὶ συνάπτει μάχην Τυδεῖ τῷ Οἰ-
νέως φεύγοντι Καλυδῶνα. γενομένης δὲ ἐξαίφνης βοῆς 3
ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς, καὶ μάντεώς τι-
νος ὑπομνησθεὶς λέγοντος αὐτῷ κάπρῳ καὶ λέοντι συ-
ζεῦξαι τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους·
εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὃ μὲν κάπρου προτομὴν ὃ
δὲ λέοντος. γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεὺς Ἀργείην 4
δὲ Πολυνείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς
τὰς πατρίδας ὑπέσχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θήβας
ἔσπευδε στρατεύεσθαι, καὶ τοὺς ἀριστέας συνήθροιζεν.
Ἀμφιάραος δὲ ὁ Οἰκλέους μάντις ὤν, καὶ προειδὼς 2
ὅτι δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου
τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοι-
ποὺς ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἶφιν 2
τὸν Ἀλέκτορος ἠξίου μαθεῖν πῶς ἂν Ἀμφιάραος ἀναγ-
κασθείη στρατεύεσθαι· ὃ δὲ εἶπεν εἰ λάβοι τὸν ὅρμον
Ἐριφύλη. Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ 3
Πολυνείκους δῶρα λαμβάνειν, Πολυνείκης δὲ δοὺς αὐ-
τῇ τὸν ὅρμον ἠξίου τὸν Ἀμφιάραον πεῖσαι στρατεύειν.
ἦν γὰρ ἐπὶ ταύτῃ· γενομένης γὰρ αὐτῷ μάχης πρὸς 4
Ἄδραστον, διαλυσάμενος ὤμοσε, περὶ ὧν ἂν Ἄδραστος
διαφέρηται, διακρίνειν Ἐριφύλῃ συγχωρῆσαι. ὅτε οὖν 5
ἐπὶ Θήβας ἔδει στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦν-
τος Ἀμφιαράου δὲ ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον
λαβοῦσα ἔπεισε τὸν ἄνδρα στρατεύειν. Ἀμφιάραος δὲ 6
ἀνάγκην ἔχων στρατεύεσθαι τοῖς παισὶν ἐντολὰς ἔδωκε
τελειωθεῖσι τήν τε μητέρα κτείνειν καὶ ἐπὶ Θήβας στρα-
τεύειν.

3 Ἄδραστος δὲ συναθροίσας σὺν ἡγεμόσιν ἑπτὰ πολε-
μεῖν ἔσπευδε Θήβας. οἱ δὲ ἡγεμόνες ἦσαν οἵδε, Ἄδρα-
στος Ταλαοῦ, Ἀμφιάραος Οἰκλέους, Καπανεὺς Ἱππο-
νόου, Ἱππομέδων Ἀριστομάχου, οἳ δὲ λέγουσι Ταλαοῦ.
2 οὗτοι μὲν ἐξ Ἄργους, Πολυνείκης δὲ Οἰδίποδος ἐκ Θη-
βῶν, Τυδεὺς Οἰνέως Αἰτωλός, Παρθενοπαῖος Μελα-
νίωνος Ἀρκάς. τινὲς δὲ Τυδέα μὲν καὶ Πολυνείκην οὐ
καταριθμοῦσι, συγκαταλέγουσι δὲ τοῖς ἑπτὰ Ἐτέοκλον
Ἴφιος καὶ Μηκιστέα.

4 παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυ-
κοῦργος, ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ
κρήνην ὁδοῦ Ὑψιπύλη, νήπιον παῖδα ὄντα Ὀφέλτην
ἀπολιποῦσα, ὃν ἔτρεφεν Εὐρυδίκης ὄντα καὶ Λυκούρ-
2 γου. αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σε-
σωσμένον ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπ-
εμπόλησαν· διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ.
δεικνυούσης δὲ τὴν κρήνην, ὁ παῖς ἀπολειφθεὶς ὑπὸ
3 δράκοντος διαφθείρεται. τὸν μὲν οὖν δράκοντα ἐπι-
φανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι, τὸν δὲ παῖδα
θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις τὸ σημεῖον
τὰ μέλλοντα προμαντεύεσθαι. τὸν δὲ παῖδα Ἀρχέμορον
4 ἐκάλεσαν. οἳ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν τῶν Νεμέων
ἀγῶνα, καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος, σταδίῳ δὲ
Ἐτέοκλος, πυγμῇ Τυδεύς, ἅλματι καὶ δίσκῳ Ἀμφιάραος,
ἀκοντίῳ Λαόδοκος, πάλῃ Πολυνείκης, τόξῳ Παρθενο-
παῖος.

5 ὡς δὲ ἦλθον εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα
προεροῦντα Ἐτεοκλεῖ τὴν βασιλείαν παραχωρεῖν Πολυ-
νείκει, καθὰ συνέθεντο. μὴ προσέχοντος δὲ Ἐτεοκλέ-
ους, διάπειραν τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ'
2 ἕνα προκαλούμενος πάντων περιεγένετο. οἳ δὲ πεντή-
κοντα ἄνδρας ὁπλίσαντες ἀπιόντα ἐνήδρευσαν αὐτόν.

πάντας δὲ αὐτοὺς χωρὶς Μαίονος ἀπέκτεινε, κἄπειτα
ἐπὶ τὸ στρατόπεδον ἦλθεν.

Ἀργεῖοι δὲ καθοπλισθέντες προσήεσαν τοῖς τείχεσι, 6
καὶ πυλῶν ἑπτὰ οὐσῶν Ἄδραστος μὲν παρὰ τὰς Ὁμο-
λωίδας πύλας ἔστη, Καπανεὺς δὲ παρὰ τὰς Ὠγυγίας,
Ἀμφιάραος δὲ παρὰ τὰς Προιτίδας, Ἱππομέδων δὲ παρὰ
τὰς Ὀγκαΐδας, Πολυνείκης δὲ παρὰ τὰς Ὑψίστας, Παρ-
θενοπαῖος δὲ παρὰ τὰς Ἠλέκτρας, Τυδεὺς δὲ παρὰ τὰς
Κρηνίδας. καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους, καὶ 2
καταστήσας ἡγεμόνας ἴσους ἴσοις ἔταξε, καὶ πῶς ἂν περι-
γένοιντο τῶν πολεμίων ἐμαντεύετο. ἦν δὲ παρὰ Θη- 7
βαίοις μάντις Τειρεσίας Εὐήρους καὶ Χαρικλοῦς νύμ-
φης, ἀπὸ γένους Οὐδαίου τοῦ Σπαρτοῦ, γενόμενος τυ-
φλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πηρώσεως καὶ μαντικῆς
λέγονται λόγοι διάφοροι. ἄλλοι μὲν γὰρ αὐτὸν ὑπὸ θε- 2
ῶν φασὶ τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις ἃ κρύπτειν
ἤθελον ἐμήνυε, Φερεκύδης δὲ ὑπὸ Ἀθηνᾶς αὐτὸν τυ-
φλωθῆναι· οὖσαν γὰρ τὴν Χαρικλὼ προσφιλῆ τῇ Ἀθη-
νᾷ . . . γυμνὴν ἐπὶ πάντα ἰδεῖν, τὴν δὲ ταῖς χερσὶ τοὺς 3
ὀφθαλμοὺς αὐτοῦ καταλαβομένην πηρὸν ποιῆσαι, Χα-
ρικλοῦς δὲ δεομένης ἀποκαταστῆσαι πάλιν τὰς ὁράσεις,
μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς ἀκοὰς διακαθάρασαν
πᾶσαν ὀρνίθων φωνὴν ποιῆσαι συνιέναι, καὶ σκῆπτρον
αὐτῷ δωρήσασθαι κράνειον, ὃ φέρων ὁμοίως τοῖς βλέ-
πουσιν ἐβάδιζεν. Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος περὶ 4
Κυλλήνην ὄφεις συνουσιάζοντας, καὶ τούτους τρώσας,
ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις
παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα 5
καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς
ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι,
τοῦτον ἀνέκριναν. ὃ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συν-
ουσίας οὐσῶν τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐν-

6 νέα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ
μαντικὴν αὐτῷ ἔδωκεν.*) ἐγένετο δὲ καὶ πολυχρόνιος.
7 οὗτος οὖν Θηβαίοις μαντευομένοις εἶπε νικήσειν, ἐὰν
Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδιδῷ.
τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν
8 πυλῶν ἔσφαξε. μάχης δὲ γενομένης οἱ Καδμεῖοι μέχρι
τῶν τειχῶν συνεδιώχθησαν, καὶ Καπανεὺς ἁρπάσας
κλίμακα ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει, καὶ Ζεὺς αὐτὸν
8 κεραυνοῖ. τούτου δὲ γενομένου τροπὴ τῶν Ἀργείων
γίνεται. ὡς δὲ ἀπώλλυντο πολλοί, δόξαν ἑκατέροις τοῖς
στρατεύμασιν Ἐτεοκλῆς καὶ Πολυνείκης περὶ τῆς βασι-
2 λείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους. καρτερᾶς
δὲ πάλιν γενομένης μάχης οἱ Ἀστακοῦ παῖδες ἠρίστευ-
σαν· Ἴσμαρος μὲν γὰρ Ἱππομέδοντα ἀπέκτεινε, Λεάδης
δὲ Ἐτέοκλον, Ἀμφίδικος δὲ Παρθενοπαῖον. ὡς δὲ Εὐ-
ριπίδης φησί, Παρθενοπαῖον ὁ Ποσειδῶνος παῖς Περι-
κλύμενος ἀπέκτεινε. Μελάνιππος δὲ ὁ λοιπὸς τῶν παί-
3 δων Τυδέα τιτρώσκει. ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου
παρὰ Διὸς αἰτησαμένη Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι' οὗ
ποιεῖν ἔμελλεν ἀθάνατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθό-
μενος τοῦτο, μισῶν Τυδέα ὅτι παρὰ τὴν ἐκείνου γνώ-
μην εἰς Θήβας ἔπεισε τοὺς Ἀργείους στρατεύεσθαι, τὴν
Μελανίππου κεφαλὴν ἀποτεμὼν ἔδωκεν αὐτῷ· τιτρω-
σκόμενος δὲ Τυδεὺς ἔκτεινεν αὐτόν. ὁ δὲ διελὼν τὸν
ἐγκέφαλον ἐξερρόφησεν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖ-
4 σα τὴν εὐεργεσίαν ἐπέσχε τε καὶ ἐφθόνησεν. Ἀμφιαράῳ
δὲ φεύγοντι παρὰ ποταμὸν Ἰσμηνόν, πρὶν ὑπὸ Περι-
κλυμένου τὰ νῶτα τρωθῇ, Ζεὺς κεραυνὸν βαλὼν τὴν

*) τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν.
οἴην μὲν μοίρην δέκα μοιρῶν τέρπεται ἀνήρ,
τὰς δὲ δέκ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα.

γῆν διέστησεν. ὁ δὲ σὺν τῷ ἅρματι καὶ τῷ ἡνιόχῳ Βά-
τωνι, ὡς δὲ ἔνιοι Ἐλατωνῷ, ἐκρύφθη, καὶ Ζεὺς ἀθά-
νατον αὐτὸν ἐποίησεν. Ἄδραστον δὲ μόνον ἵππος δι- 5
έσωσεν Ἀρίων· τοῦτον ἐκ Ποσειδῶνος ἐγέννησε Δημή-
τηρ εἰκασθεῖσα ἐρινύι κατὰ τὴν συνουσίαν.

Κρέων δὲ τὴν Θηβαίων βασιλείαν παραλαβὼν τοὺς 7
τῶν Ἀργείων νεκροὺς ἔρριψεν ἀτάφους, καὶ κηρύξας
μηδένα θάπτειν φύλακας κατέστησεν. Ἀντιγόνη δέ,
μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους
σῶμα κλέψασα ἔθαψε, καὶ φωραθεῖσα ὑπὸ Κρέοντος
αὐτὴ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη. Ἄδραστος δὲ εἰς Ἀθή- 2
νας ἀφικόμενος ἐπὶ τὸν ἐλέου βωμὸν κατέφυγε, καὶ
ἱκετηρίαν θεὶς ἠξίου θάπτειν τοὺς νεκρούς. οἱ δὲ Ἀθη-
ναῖοι μετὰ Θησέως στρατεύσαντες αἱροῦσι Θήβας καὶ
τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάψαι. τῆς δὲ Κα- 3
πανέως καιομένης πυρᾶς, Εὐάδνη ἡ Καπανέως μὲν γυνὴ
θυγάτηρ δὲ Ἴφιος ἑαυτὴν ἐμβαλοῦσα συγκατεκαίετο.

μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολομένων παῖδες, κλη- 2
θέντες ἐπίγονοι, στρατεύειν ἐπὶ Θήβας προῃροῦντο,
τὸν τῶν πατέρων θάνατον τιμωρήσασθαι βουλόμενοι.
καὶ μαντευομένοις αὐτοῖς ὁ θεὸς ἐθέσπισε νίκην Ἀλ-
κμαίωνος ἡγουμένου. ὁ μὲν οὖν Ἀλκμαίων ἡγεῖσθαι τῆς 2
στρατείας οὐ βουλόμενος πρὶν τίσασθαι τὴν μητέρα,
ὅμως στρατεύεται· λαβοῦσα γὰρ Ἐριφύλη παρὰ Θερσάν-
δρου τοῦ Πολυνείκους τὸν πέπλον συνέπεισε καὶ τοὺς
παῖδας στρατεύεσθαι. οἱ δὲ ἡγεμόνα Ἀλκμαίωνα ἑλόμε- 3
νοι Θήβας ἐπολέμουν. ἦσαν δὲ οἱ στρατευόμενοι οἵδε,
Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Αἰγιαλεὺς Ἀδρά-
στου, Διομήδης Τυδέως, Πρόμαχος Παρθενοπαίου,
Σθένελος Καπανέως, Θέρσανδρος Πολυνείκους, Εὐρύα-
λος Μηκιστέως. οὗτοι πρῶτον μὲν πορθοῦσι τὰς πέριξ 3
κώμας, ἔπειτα τῶν Θηβαίων ἐπελθόντων Λαοδάμαντος

τοῦ Ἐτεοκλέους ἡγουμένου γενναίως μάχονται. καὶ
Λαοδάμας μὲν Αἰγιαλέα κτείνει, Λαοδάμαντα δὲ Ἀλ-
2 κμαίων. καὶ μετὰ τὸν τούτου θάνατον Θηβαῖοι συμ-
φεύγουσιν εἰς τὰ τείχη. Τειρεσίου δὲ εἰπόντος αὐτοῖς
πρὸς μὲν Ἀργείους κήρυκα περὶ διαλύσεως ἀποστέλλειν,
αὐτοὺς δὲ φεύγειν, πρὸς μὲν τοὺς πολεμίους κήρυκα
πέμπουσιν, αὐτοὶ δὲ ἀναβιβάσαντες ἐπὶ τὰς ἀπήνας
3 τέκνα καὶ γυναῖκας ἐκ τῆς πόλεως ἔφευγον. νύκτωρ
δὲ ἐπὶ τὴν λεγομένην Τιλφοῦσσαν κρήνην παραγενομέ-
νων αὐτῶν, Τειρεσίας ἀπὸ ταύτης πιὼν αὐτοῦ τὸν βίον
κατέστρεψε. Θηβαῖοι δὲ ἐπὶ πολὺ διελθόντες, πόλιν
4 Ἑστιαίαν κτίσαντες κατῴκησεν. Ἀργεῖοι δὲ ὕστερον τὸν
δρασμὸν τῶν Θηβαίων μαθόντες εἰσίασιν εἰς τὴν πόλιν,
καὶ συναθροίζουσι τὴν λείαν, καὶ καθαιροῦσι τὰ τείχη.
τῆς δὲ λείας μέρος εἰς Δελφοὺς πέμπουσιν Ἀπόλλωνι
καὶ τὴν Τειρεσίου θυγατέρα Μαντώ· ηὔξαντο γὰρ αὐτῷ
Θήβας ἑλόντες τὸ κάλλιστον τῶν λαφύρων ἀναθήσειν.
5 μετὰ δὲ τὴν Θηβῶν ἅλωσιν αἰσθόμενος Ἀλκμαίων
καὶ ἐπ᾽ αὐτῷ δῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα
μᾶλλον ἠγανάκτησε, καὶ χρήσαντος Ἀπόλλωνος αὐτῷ
τὴν μητέρα ἀπέκτεινεν. ἔνιοι μὲν λέγουσι σὺν Ἀμφι-
λόχῳ τῷ ἀδελφῷ κτεῖναι τὴν Ἐριφύλην, ἔνιοι δὲ ὅτι
2 μόνος. Ἀλκμαίωνα δὲ μετῆλθεν ἐρινὺς τοῦ μητρῴου
φόνου, καὶ μεμηνὼς πρῶτον μὲν εἰς Ἀρκαδίαν πρὸς
Οἰκλέα παραγίνεται, ἐκεῖθεν δὲ εἰς Ψωφίδα πρὸς Φηγέα.
καθαρθεὶς δὲ ὑπ᾽ αὐτοῦ Ἀρσινόην γαμεῖ τὴν τούτου
θυγατέρα, καὶ τόν τε ὅρμον καὶ τὸν πέπλον ἔδωκε ταύτῃ.
3 γενομένης δὲ ὕστερον τῆς γῆς δι᾽ αὐτὸν ἀφόρου, χρή-
σαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῷον ἀπιέναι καὶ παρ᾽
ἐκεῖνον παλινδικίαν λαμβάνειν, τὸ μὲν πρῶτον πρὸς
Οἰνέα παραγίνεται εἰς Καλυδῶνα καὶ ξενίζεται παρ᾽
αὐτοῦ, ἔπειτα ἀφικόμενος εἰς Θεσπρωτοὺς τῆς χώρας

ἀπελαύνεται. τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελῴου πηγὰς 4
παραγενόμενος καθαίρεταί τε ὑπ᾽ αὐτοῦ καὶ τὴν ἐκεί-
νου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῷος
προσέχωσε τόπον κτίσας κατῴκησε. Καλλιρρόης δὲ ὕστε- 5
ρον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης λαβεῖν,
καὶ λεγούσης οὐ συνοικήσειν αὐτῷ εἰ μὴ λάβοι ταῦτα,
[διὸ] παραγενόμενος εἰς Ψωφῖδα Ἀλκμαίων Φηγεῖ λέγει
τεθεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, ὅταν τὸν
ὅρμον εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον. ὁ
δὲ πιστεύσας δίδωσι. μηνύσαντος δὲ θεράποντος ὅτι 6
Καλλιρρόῃ ταῦτα λαβὼν ἐκόμιζεν, ἐνεδρευθεὶς ὑπὸ τῶν
Φηγέως παίδων ἐπιτάξαντος τοῦ Φηγέως ἀναιρεῖται.
Ἀρσινόην δὲ μεμφομένην οἱ τοῦ Φηγέως παῖδες ἐμβι-
βάσαντες εἰς λάρνακα κομίζουσιν εἰς Τεγέαν καὶ διδόα-
σιν Ἀγαπήνορι, καταψευσάμενοι τὸν Ἀλκμαίωνος αὐτῆς
φόνον. Καλλιρρόη δὲ τὴν Ἀλκμαίωνος ἀπώλειαν μα- 6
θοῦσα, πλησιάζοντος αὐτῇ τοῦ Διός, αἰτεῖται τοὺς γε-
γεννημένους παῖδας ἐξ Ἀλκμαίωνος αὐτῇ γενέσθαι τε-
λείους, ἵνα τὸν τοῦ πατρὸς τίσωνται φόνον. γενόμενοι
δὲ ἐξαίφνης οἱ παῖδες τέλειοι ἐπὶ τὴν ἐκδικίαν τοῦ πα-
τρὸς ἐξῄεσαν. κατὰ τὸν αὐτὸν δὲ καιρὸν οἵ τε Φηγέως 2
παῖδες Πρόνοος καὶ Ἀγήνωρ, εἰς Δελφοὺς κομίζοντες
ἀναθεῖναι τὸν ὅρμον καὶ τὸν πέπλον, καταλύουσι πρὸς
Ἀγαπήνορα, καὶ οἱ τοῦ Ἀλκμαίωνος παῖδες Ἀμφότερός
τε καὶ Ἀκαρνάν· καὶ ἀνελόντες τοὺς τοῦ πατρὸς φο-
νέας, παραγενόμενοί τε εἰς Ψωφῖδα καὶ παρελθόντες
εἰς τὰ βασίλεια τόν τε Φηγέα καὶ τὴν γυναῖκα αὐτοῦ
κτείνουσι. διωχθέντες δὲ ἄχρι Τεγέας ἐπιβοηθησάντων 3
Τεγεατῶν καὶ τινῶν Ἀργείων ἐσώθησαν, εἰς φυγὴν
τῶν Ψωφιδίων τραπέντων. δηλώσαντες δὲ τῇ μητρὶ 7
ταῦτα, τόν τε ὅρμον καὶ τὸν πέπλον ἐλθόντες εἰς Δελ-
φοὺς ἀνέθεντο κατὰ πρόσταξιν Ἀχελῴου. πορευθέντες

δὲ εἰς τὴν Ἤπειρον συναθροίζουσιν οἰκήτορας καὶ κτίζουσιν Ἀκαρνανίαν.

2 Εὐριπίδης δέ φησιν Ἀλκμαίωνα κατὰ τὸν τῆς μα-
νίας χρόνον ἐκ Μαντοῦς Τειρεσίου παῖδας δύο γεννῆ-
σαι, Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην, κομίσαντα δὲ
εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βα-
3 σιλεῖ Κρέοντι, καὶ τὴν μὲν Τισιφόνην διενεγκοῦσαν
εὐμορφίᾳ ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμποληθῆναι,
δεδοικυίας μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται. τὸν δὲ
Ἀλκμαίωνα ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν
4 ἑαυτοῦ θυγατέρα θεράπαιναν, παραγενόμενον δὲ εἰς
Κόρινθον ἐπὶ τὴν τῶν τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν
κομίσασθαι. καὶ Ἀμφίλοχος κατὰ χρησμοὺς Ἀπόλλωνος
Ἀμφιλοχικὸν Ἄργος ᾤκησεν.

8 Ἐπανάγωμεν δὲ νῦν πάλιν ἐπὶ τὸν Πελασγόν, ὃν
Ἀκουσίλαος μὲν Διὸς λέγει καὶ Νιόβης, καθάπερ ὑπ-
έθεμεν, Ἡσίοδος δὲ αὐτόχθονα. τούτου καὶ τῆς Ὠκεα-
νοῦ θυγατρὸς Μελιβοίας, ἢ καθάπερ ἄλλοι λέγουσι νύμ-
2 φης Κυλλήνης, παῖς Λυκάων ἐγένετο, ὃς βασιλεύων
Ἀρκάδων ἐκ πολλῶν γυναικῶν πεντήκοντα παῖδας ἐγέν-
νησε, Μαίναλον Θεσπρωτὸν Ἕλικα Νύκτιμον Πευκέτιον,
Καύκωνα Μηκιστέα Ὁπλέα Μακαρέα Μάκεδνον, Ὅρον
Πόλιχον Ἀκόντην Εὐαίμονα Ἀγκύορα, Ἀρχεβάτην Καρ-
3 τέρωνα Αἰγαίωνα Πάλλαντα Κάνηθον, Πρόθοον Λίνον
Κορέθοντα Τηλεβόαν Φύσιον, Φάσσον Φθῖον Λύκιον
Ἁλίφηρον Γενέτορα, Βουκολίωνα Σωκλέα Φινέα Εὐμή-
την Ἁρπαλέα, Πορθέα Πλάτωνα Αἵμονα Κύναιθον Λέ-
οντα, Ἁρπάλυκον Ἡραιέα Τιτάναν Μαντίνουν Κλείτορα,
4 Στύμφαλον Ὀρχομενόν . . . οὗτοι πάντας ἀνθρώπους
ὑπερέβαλλον ὑπερηφανείᾳ καὶ ἀσεβείᾳ. Ζεὺς δὲ αὐτῶν
βουλόμενος τὴν ἀσέβειαν πειράσαι εἰκασθεὶς ἀνδρὶ χερ-
5 νήτῃ παραγίνεται. οἳ δὲ αὐτὸν ἐπὶ ξενίᾳ καλέσαντες,

σφάξαντες ἕνα τῶν ἐπιχωρίων παῖδα, τοῖς ἱεροῖς τὰ
τούτου σπλάγχνα συναναμίξαντες παρέθεσαν, συμ-
βουλεύσαντος τοῦ πρεσβυτέρου ἀδελφοῦ Μαινάλου. 6
Ζεὺς δὲ τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ἔνθα νῦν Τρα-
πεζοῦς καλεῖται ὁ τόπος, Λυκάονα δὲ καὶ τοὺς τούτου
παῖδας ἐκεραύνωσε, χωρὶς τοῦ νεωτάτου Νυκτίμου·
ἀνασχοῦσα γὰρ ἡ Γῆ τὰς χεῖρας καὶ τῆς δεξιᾶς τοῦ
Διὸς ἐφαψαμένη τὴν ὀργὴν κατέπαυσε. Νυκτίμου δὲ 2
τὴν βασιλείαν παραλαβόντος ὁ ἐπὶ Δευκαλίωνος κατα-
κλυσμὸς ἐγένετο. τοῦτον ἔνιοι διὰ τὴν τῶν Λυκάονος
παίδων δυσσέβειαν εἶπον γεγενῆσθαι.

Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ 2
θυγατέρα Καλλιστὼ γενέσθαι· Ἡσίοδος μὲν γὰρ αὐτὴν
μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φε-
ρεκύδης δὲ Κητέως. αὕτη σύνθηρος Ἀρτέμιδος οὖσα, 3
τὴν αὐτὴν ἐκείνῃ στολὴν φοροῦσα, ὤμοσεν αὐτῇ μεῖ-
ναι παρθένος. Ζεὺς δὲ ἐρασθεὶς ἀκούσῃ συνευνάζεται,
εἰκασθείς, ὡς μὲν ἔνιοι λέγουσιν, Ἀρτέμιδι, ὡς δὲ ἔνιοι,
Ἀπόλλωνι. βουλόμενος δὲ Ἥραν λαθεῖν εἰς ἄρκτον 4
μετεμόρφωσεν αὐτήν. Ἥρα δὲ ἔπεισεν Ἄρτεμιν ὡς
ἄγριον θηρίον κατατοξεῦσαι. εἰσὶ δὲ οἱ λέγοντες ὡς
Ἄρτεμις αὐτὴν κατετόξευσεν ὅτι τὴν παρθενίαν οὐκ
ἐφύλαξεν. ἀπολομένης δὲ Καλλιστοῦς Ζεὺς τὸ βρέφος 5
ἁρπάσας ἐν Ἀρκαδίᾳ δίδωσιν ἀνατρέφειν Μαίᾳ, προσ-
αγορεύσας Ἀρκάδα· τὴν δὲ Καλλιστὼ καταστερίσας
ἐκάλεσεν ἄρκτον.

Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μεγα- 9
νείρας τῆς Κρόκωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης
Χρυσοπελείας, ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας.
οὗτοι τὴν γῆν ἐμερίσαντο, τὸ δὲ πᾶν κράτος εἶχεν Ἔλα-
τος, ὃς ἐκ Λαοδίκης τῆς Κινύρου Στύμφαλον καὶ Περέα
τεκνοῖ, Ἀφείδας δὲ Ἄλεον καὶ Σθενέβοιαν, ἣν γαμεῖ

2 Προῖτος. Ἀλέου δὲ καὶ Νεαίρας τῆς Περέως θυγάτηρ
μὲν Αὔγη, υἱοὶ δὲ Κηφεὺς καὶ Λυκοῦργος. Αὔγη μὲν
οὖν ὑφ' Ἡρακλέους φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν
3 τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρ-
που δὲ τῆς γῆς μενούσης, καὶ μηνυόντων τῶν χρησμῶν
εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωρα-
θεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ·
παρ' οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης παραλαβὼν αὐτὴν
4 ἔγημε. τὸ δὲ βρέφος ἐκτεθὲν ἐν ὄρει Παρθενίῳ θηλὴν
ὑποσχούσης ἐλάφου Τήλεφος ἐκλήθη, καὶ τραφεὶς ὑπὸ
τῶν Κορύθου βουκόλων καὶ ζητήσας τοὺς γονέας ἧκεν
εἰς Δελφούς, καὶ μαθὼν παρὰ τοῦ θεοῦ, παραγενόμε-
νος εἰς Μυσίαν θετὸς παῖς Τεύθραντος γίνεται, καὶ
τελευτῶντος αὐτοῦ διάδοχος τῆς δυναστείας γίνεται.
2 Λυκούργου δὲ καὶ Κλεοφίλης ἢ Εὐρυνόμης Ἀγκαῖος
καὶ Ἔποχος καὶ Ἀμφιδάμας καὶ Ἴασος. Ἀμφιδάμαντος
δὲ Μελανίων καὶ θυγάτηρ Ἀντιμάχη, ἣν Εὐρυσθεὺς
2 ἔγημεν. Ἰάσου δὲ καὶ Κλυμένης τῆς Μινύου Ἀταλάντη
ἐγένετο. ταύτης ὁ πατὴρ ἀρρένων παίδων ἐπιθυμῶν
ἐξέθηκεν αὐτήν, ἄρκτος δὲ φοιτῶσα πολλάκις θηλὴν
ἐδίδου, μέχρις οὗ εὑρόντες κυνηγοὶ παρ' ἑαυτοῖς ἀν-
3 έτρεφον. τελεία δὲ Ἀταλάντη γενομένη παρθένον ἑαυ-
τὴν ἐφύλαττε, καὶ θηρεύουσα ἐν ἐρημίᾳ καθωπλισμένη
διετέλει. βιάζεσθαι δὲ αὐτὴν ἐπιχειροῦντες Κένταυροι
Ῥοῖκος καὶ Ὑλαῖος κατατοξευθέντες ὑπ' αὐτῆς ἀπέθα-
4 νον. παρεγένετο δὲ μετὰ τῶν ἄλλων ἀριστέων καὶ ἐπὶ
τὸν Καλυδώνιον κάπρον, καὶ ἐν τῷ ἐπὶ Πελίᾳ τεθέντι
5 ἀγῶνι ἐπάλαισε Πηλεῖ καὶ ἐνίκησεν. ἀνευροῦσα δὲ ὕστε-
ρον τοὺς γονέας, ὡς ὁ πατὴρ γαμεῖν αὐτὴν ἔπειθεν ἀπ-
ιοῦσα εἰς σταδιαῖον τόπον καὶ πήξασα μέσον σκόλοπα
τρίπηχυν, ἐντεῦθεν τῶν μνηστευομένων τοὺς δρόμους
προϊοῦσα ἐτρόχαζε καθωπλισμένη· καὶ καταληφθέντι μὲν

αὐτοῦ θάνατος ὠφείλετο, μὴ καταληφθέντι δὲ γάμος.
ἤδη δὲ πολλῶν ἀπολομένων Μελανίων αὐτῆς ἐρασθεὶς 6
ἧκεν ἐπὶ τὸν δρόμον, χρύσεα μῆλα κομίζων παρ' Ἀφρο-
δίτης, καὶ διωκόμενος ταῦτα ἔρριπτεν. ἣ δὲ ἀναιρου-
μένη τὰ ῥιπτούμενα τὸν δρόμον ἐνικήθη. ἔγημεν οὖν
αὐτὴν Μελανίων. καί ποτε λέγεται μεσημβριοῦντας αὐ-
τοὺς εἰσελθεῖν εἰς τὸ τέμενος Διός, κἀκεῖ συνουσιάζον-
τας εἰς λέοντας ἀλλαγῆναι. Ἡσίοδος δὲ καί τινες ἕτεροι 7
τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐρι-
πίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελα-
νίωνα ἀλλ' Ἱππομένην. ἐγέννησε δὲ ἐκ Μελανίωνος
Ἀταλάντη ἢ Ἄρεος Παρθενοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρα-
τεύσατο.

Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Πληιόνης ἐγένοντο 10
θυγατέρες ἑπτὰ ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληιά-
δες προσαγορευθεῖσαι, Ἀλκυόνη Μερόπη Κελαινὼ Ἠλέ-
κτρα Στερόπη Ταϋγέτη Μαῖα. τούτων Στερόπην μὲν 2
Οἰνόμαος ἔγημε, Σίσυφος δὲ Μερόπην. δυσὶ δὲ ἐμίχθη
Ποσειδῶν, πρώτῃ μὲν Κελαινοῖ, ἐξ ἧς Λύκος ἐγένετο,
ὃν Ποσειδῶν ἐν μακάρων ᾤκισε νήσοις, δευτέρᾳ δὲ Ἀλ-
κυόνῃ, ἣ θυγατέρα μὲν ἐτέκνωσεν Αἴθουσαν τὴν Ἀπόλ-
λωνι Ἐλευθῆρα τεκοῦσαν, καλλίστην, υἱοὺς δὲ Ὑριέα
καὶ Ὑπερήνορα. Ὑριέως μὲν οὖν καὶ Κλονίης νύμφης 3
Νυκτεὺς καὶ Λύκος, Νυκτέως δὲ καὶ Πολυξοῦς Ἀντιό-
πη, Ἀντιόπης δὲ καὶ Διὸς Ζῆθος καὶ Ἀμφίων. ταῖς δὲ
λοιπαῖς Ἀτλαντίσι Ζεὺς συνουσιάζει.

Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν ἄν- 2
τρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν σπαργάνοις
ἐπὶ τοῦ λίκνου κείμενος, ἐκδὺς εἰς Πιερίαν παραγίνεται,
καὶ κλέπτει βόας ἃς ἔνεμεν Ἀπόλλων. ἵνα δὲ μὴ φωρα- 2
θείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ περιέθηκε,
καὶ κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπ-

ἔκρυψε, δύο δὲ καταθύσας τὰς μὲν βύρσας πέτραις καθ-
ήλωσε, τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσεν ἑψήσας τὰ δὲ
3 κατέκαυσε. καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο. καὶ εὑρί-
σκει πρὸ τοῦ ἄντρου νεμομένην χελώνην. ταύτην ἐκκα-
θάρας, εἰς τὸ κύτος χορδὰς ἐντείνας ἐξ ὧν ἔθυσε βοῶν,
4 καὶ ἐργασάμενος λύραν, εὗρε καὶ πλῆκτρον. Ἀπόλλων
δὲ τὰς βόας ζητῶν εἰς Πύλον ἀφικνεῖται, καὶ τοὺς κατοι-
κοῦντας ἀνέκρινεν. οἳ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα
ἔφασκον, οὐκ ἔχειν δὲ εἰπεῖν ποῖ ποτὲ ἠλάθησαν διὰ τὸ
5 μὴ εὑρεῖν ἴχνος δύνασθαι. μαθὼν δὲ ἐκ τῆς μαντικῆς
τὸν κεκλοφότα πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται,
καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο. ἣ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς
σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας τὰς
6 βόας ἀπῄτει. Διὸς δὲ κελεύοντος ἀποδοῦναι ἠρνεῖτο.
μὴ πείθων δὲ ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς
βόας ἀποδίδωσιν. ἀκούσας δὲ τῆς λύρας ὁ Ἀπόλλων
ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ ταύτας νέμων σύριγγα
7 πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην
βουλόμενος λαβεῖν, τὴν χρυσῆν ῥάβδον ἐδίδου ἣν ἐκέ-
κτητο βουκολῶν. ὃ δὲ καὶ ταύτην λαβεῖν ἀντὶ τῆς σύ-
ριγγος ἤθελε καὶ τὴν μαντικὴν ἐπελθεῖν· καὶ δοὺς δι-
δάσκεται τὴν διὰ τῶν ψήφων μαντικήν. Ζεὺς δὲ αὐτὸν
κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τίθησι.

3 Ταϋγέτη δὲ ἐκ Διὸς Λακεδαίμονα, ἀφ' οὗ καὶ Λα-
κεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος δὲ καὶ Σπάρ-
της τῆς Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτόχθονος καὶ
νύμφης νηίδος Κλεοχαρείας, Ἀμύκλας καὶ Εὐρυδίκη,
2 ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διομήδης τῆς Λα-
πίθου Κυνόρτης καὶ Ὑάκινθος. τοῦτον εἶναι Ἀπόλλω-
νος ἐρώμενον λέγουσιν, ὃν δίσκῳ βαλὼν ἄκων ἀπέκτεινε.
3 Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην τὴν Περ-
σέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων

Ἰκάριον Ἀφαρέα Λεύκιππον. Ἀφαρέως μὲν οὖν καὶ 4
Ἀρήνης τῆς Οἰβάλου Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος.
κατὰ πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς
δὲ ὀξυδερκίᾳ διήνεγκεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν.
Λευκίππου δὲ θυγατέρες ἐγένοντο Ἱλάειρα καὶ Φοίβη· 5
ταύτας ἁρπάσαντες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύ-
ταις Ἀρσινόην ἐγέννησε· ταύτῃ μίγνυται Ἀπόλλων, ἣ
δὲ Ἀσκληπιὸν γεννᾷ. τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσι- 6
νόης τῆς Λευκίππου λέγουσιν, ἀλλ' ἐκ Κορωνίδος τῆς
Φλεγύου ἐν Θεσσαλίᾳ. καί φασιν ἐρασθῆναι ταύτης
Ἀπόλλωνα καὶ εὐθέως συνελθεῖν· τοῦ δὲ παρὰ τὴν τοῦ
πατρὸς γνώμην ἑλομένου Ἴσχυϊ τῷ Καινέως ἀδελφῷ
συνοικεῖ. Ἀπόλλων δὲ τὸν μὲν ἀπαγγείλαντα κόρακα 7
καταρᾶται, ὃς τέως λευκὸν ἐόντα ἐποίησε μέλανα, αὐ-
τὴν δὲ ἀπέκτεινε. καιομένης δὲ αὐτῆς ἁρπάσας τὸ βρέ-
φος ἐκ τῆς πυρᾶς πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκε,
παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμε- 8
νος ἐδιδάχθη. καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην
ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν,
ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας· παρὰ γὰρ Ἀθη- 9
νᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνος ῥυὲν αἷμα,
τῷ μὲν ἐκ τῶν ἀριστερῶν πρὸς φθορὰν ἀνθρώπων ἐχρῆ-
το, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς σωτηρίαν, καὶ διὰ τούτου
τοὺς τεθνηκότας ἀνήγειρεν. εὗρον δέ τινας λεγομένους 10
ἀναστῆναι ὑπ' αὐτοῦ, Καπανέα καὶ Λυκοῦργον, ὡς Στη-
σίχορός φησιν ἐν Ἐριφύλῃ, Ἱππόλυτον, ὡς ὁ τὰ Ναυ-
πακτικὰ συγγράψας λέγει, Τυνδάρεων, ὥς φησι Πανύα-
σις, Ὑμέναιον, ὡς οἱ Ὀρφικοὶ λέγουσι, Γλαῦκον τὸν
Μίνωος, ὡς Μελησαγόρας λέγει. Ζεὺς δὲ φοβηθεὶς μὴ 4
λαβόντες ἄνθρωποι θεραπείαν παρ' αὐτῶν βοηθῶσιν
ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν. καὶ διὰ τοῦτο ὀργισθεὶς
Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν Διὶ

2 κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον, δεηθείσης δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. ὃ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων ἐποίμαινε, καὶ τὰς θηλείας βόας πάσας διδυματόκους ἐποίησεν.

3 εἰσὶ δὲ οἱ λέγοντες Ἀφαρέα μὲν καὶ Λεύκιππον ἐκ Περιήρους γενέσθαι τοῦ Αἰόλου, Κυνόρτου δὲ Περιήρην, τοῦ δὲ Οἴβαλον, Οἰβάλου δὲ καὶ νηίδος νύμφης Βατείας Τυνδάρεων Ἱπποκόωντα Ἰκαρίωνα.

5 Ἱπποκόωντος μὲν οὖν ἐγένοντο παῖδες Δορκεὺς Σκαῖος Ἐναροφόρος Εὐτείχης Βουκόλος Λύκων Τέβρος Ἱππόθοος Εὔρυτος Ἱπποκορυστὴς Ἀλκίνους Ἄλκων. τούτους Ἱπποκόων ἔχων παῖδας Ἰκαρίωνα καὶ Τυνδά-
2 ρεων ἐξέβαλε Λακεδαίμονος. οἳ δὲ φεύγουσι πρὸς Θέστιον, καὶ συμμαχοῦσιν αὐτῷ πρὸς τοὺς ὁμόρους πόλεμον ἔχοντι. καὶ γαμεῖ Τυνδάρεως Θεστίου θυγατέρα Λήδαν, αὖθις δέ, ὅτε Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς τούτου παῖδας ἀπέκτεινε, κατέρχονται, καὶ παραλαμβάνει Τυνδάρεως τὴν βασιλείαν.

6 Ἰκαρίου μὲν οὖν καὶ Περιβοίας νύμφης νηίδος Θόας Δαμάσιππος Ἰμεύσιμος Ἀλήτης Περίλεως, καὶ θυγάτηρ Πηνελόπη, ἣν ἔγημεν Ὀδυσσεύς· Τυνδάρεω δὲ καὶ Λήδας Τιμάνδρα, ἣν Ἔχεμος ἔγημε, καὶ Κλυταιμνήστρα, ἣν ἔγημεν Ἀγαμέμνων, ἔτι τε Φιλονόη, ἣν Ἄρτεμις
7 ἀθάνατον ἐποίησε. Διὸς δὲ Λήδᾳ συνελθόντος ὁμοιωθέντος κύκνῳ, καὶ κατὰ τὴν αὐτὴν νύκτα Τυνδάρεω, Διὸς μὲν ἐγεννήθη Πολυδεύκης καὶ Ἑλένη, Τυνδάρεω
2 δὲ Κάστωρ ⟨καὶ Κλυταιμνήστρα⟩. λέγουσι δὲ ἔνιοι Νεμέσεως Ἑλένην εἶναι καὶ Διός. ταύτην γὰρ τὴν Διὸς φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν μεταβαλεῖν,
3 ὁμοιωθέντα δὲ καὶ Δία τῷ κύκνῳ συνελθεῖν· τὴν δὲ ᾠὸν ἐκ τῆς συνουσίας ἀποτεκεῖν, τοῦτο δὲ ἐν τοῖς ἄλσε-

σιν εὑρόντα τινὰ ποιμένα Λήδᾳ κομίσαντα δοῦναι, τὴν δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν, καὶ χρόνῳ καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατέρα τρέφειν. γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ Θησεὺς 4
ἁρπάσας εἰς Ἀφίδνας ἐκόμισε. Πολυδεύκης δὲ καὶ Κάστωρ ἐπιστρατεύσαντες ἐν Ἅιδου Θησέως ὄντος αἱροῦσι τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι, καὶ τὴν Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον. παρεγένοντο δὲ εἰς 8
Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες Ἑλλάδος. ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε, Ὀδυσσεὺς Λαέρτου, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος, Ἀγαπήνωρ Ἀγκαίου, Σθένελος Καπανέως, Ἀμφίμαχος Κτεάτου, Θάλπιος Εὐρύτου, Μέγης Φυλέως, Ἀμφίλοχος 2
Ἀμφιαράου, Μενεσθεὺς Πετεώ, Σχεδίος ⟨καὶ⟩ Ἐπίστροφος ⟨Ἰφίτου⟩, Πολύξενος Ἀγασθένους, Πηνέλεως ⟨Ἱππαλκίμου⟩, Λήιτος ⟨Ἀλέκτορος⟩, Αἴας Ὀιλέως, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἐλεφήνωρ Χαλκώδοντος, Εὔμηλος Ἀδμήτου, Πολυποίτης Πειρίθου, Λεοντεὺς 3
Κορώνου, Ποδαλείριος καὶ Μαχάων Ἀσκληπιοῦ, Φιλοκτήτης Ποίαντος, Εὐρύπυλος Εὐαίμονος, Πρωτεσίλαος Ἰφίκλου, Μενέλαος Ἀτρέως, Αἴας καὶ Τεῦκρος Τελαμῶνος, Πάτροκλος Μενοιτίου. τούτων ὁρῶν τὸ πλῆθος 9
Τυνδάρεως ἐδεδοίκει μὴ κριθέντος ἑνὸς στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου δὲ τοῦ Ὀδυσσέως, ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον, ὑποθήσεσθαι τρόπον τινὰ δι' οὗ μηδεμία γενήσεται στάσις, ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκί- 2
σαι τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπ' ἄλλου τινὸς ἀδικῆται περὶ τὸν γάμον. ἀκούσας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας ἐξορκίζει, καὶ Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον, Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην.

11 Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε
καὶ κατά τινας Νικόστρατον, ἐκ δούλης δὲ Πιερίδος,
γένος Αἰτωλίδος, ἢ καθάπερ Ἀκουσίλαός φησι Τηρηί-
δος, Μεγαπένθη, ἐκ Κνωσσίας δὲ νύμφης κατὰ Εὔμη-
λον Ξενόδαμον.

2 τῶν δὲ ἐκ Λήδας γενομένων παίδων Κάστωρ μὲν
ἤσκει τὰ κατὰ πόλεμον, Πολυδεύκης δὲ πυγμήν, καὶ διὰ
τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. βου-
λόμενοι δὲ γῆμαι τὰς Λευκίππου θυγατέρας ἐκ Μεσσή-
2 νης ἁρπάσαντες ἔγημαν· καὶ γίνεται μὲν Πολυδεύκους
καὶ Φοίβης Μνησίλεως, Κάστορος δὲ καὶ Ἱλαείρας Ἀνώ-
3 γων. ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας βοῶν λείαν μετὰ
τῶν Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως, ἐπιτρέπουσιν
Ἴδᾳ διελεῖν· ὃ δὲ τεμὼν βοῦν εἰς μέρη τέσσαρα, τοῦ
πρώτου καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι,
καὶ τοῦ δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε
τὸ μέρος τὸ ἴδιον πρῶτον Ἴδας, καὶ τὸ τοῦ ἀδελφοῦ, καὶ
4 μετ' ἐκείνου τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρατεύ-
σαντες δὲ ἐπὶ Μεσσήνην οἱ Διόσκουροι τήν τε λείαν
ἐκείνην καὶ πολλὴν ἄλλην συνελαύνουσι. καὶ τὸν Ἴδαν
ὑπὸ δρυῒ ἐλόχων καὶ τὸν Λυγκέα. Λυγκεὺς δὲ ἰδὼν
5 Κάστορα ἐμήνυσεν Ἴδᾳ, κἀκεῖνος αὐτὸν κτείνει. Πολυ-
δεύκης δὲ ἐδίωξεν αὐτούς, καὶ τὸν μὲν Λυγκέα κτείνει
τὸ δόρυ προέμενος, τὸν δὲ Ἴδαν διώκων, βληθεὶς ὑπ'
ἐκείνου πέτρᾳ κατὰ τῆς κεφαλῆς, πίπτει σκοτωθείς. καὶ
Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν ἀνά-
6 γει. μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν ὄν-
τος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις παρ' ἡμέραν καὶ
ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς ἔδωκε. μεταστάντων δὲ
εἰς θεοὺς τῶν Διοσκούρων, Τυνδάρεως μεταπεμψάμε-
νος Μενέλαον εἰς Σπάρτην τούτῳ τὴν βασιλείαν παρ-
έδωκεν.

Ἠλέκτρας δὲ τῆς Ἄτλαντος καὶ Διὸς Ἰασίων καὶ 12
Δάρδανος ἐγένοντο. Ἰασίων μὲν οὖν ἐρασθεὶς Δήμητρος
καὶ θέλων καταισχῦναι τὴν θεὸν κεραυνοῦται, Δάρδα-
νος δὲ ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ λυπούμενος, Σαμο-
θρᾴκην ἀπολιπὼν εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε. ταύ- 2
της δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου καὶ νύμ-
φης Ἰδαίας· ἀφ' οὗ καὶ οἱ τὴν χώραν νεμόμενοι Τεῦ-
κροι προσηγορεύοντο. ὑποδεχθεὶς δὲ ὑπὸ τοῦ βασιλέως, 3
καὶ λαβὼν μέρος τῆς γῆς καὶ τὴν ἐκείνου θυγατέρα Βά-
τειαν, Δάρδανον ἔκτισε πόλιν, τελευτήσαντος δὲ Τεύ-
κρου τὴν χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε. γενομέ- 2
νων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἶλος μὲν
οὖν ἄπαις ἀπέθανεν, Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν
βασιλείαν, γήμας Ἀστυόχην τὴν Σιμόεντος, τεκνοῖ
Τρῶα. οὗτος παραλαβὼν τὴν βασιλείαν τὴν μὲν χώραν 2
ἀφ' ἑαυτοῦ Τροίαν ἐκάλεσε, καὶ γήμας Καλλιρρόην τὴν
Σκαμάνδρου γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας
δὲ Ἶλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. τοῦτον μὲν 3
οὖν διὰ κάλλος ἀναρπάσας Ζεὺς δι' ἀετοῦ θεῶν οἰνο-
χόον ἐν οὐρανῷ κατέστησεν· Ἀσσαράκου δὲ καὶ Ἱερο-
μνήμης τῆς Σιμόεντος Κάπυς, τοῦ δὲ καὶ Θέμιδος τῆς
Ἴλου Ἀγχίσης, ᾧ δι' ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη
συνελθοῦσα Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἄπαις ἀπ-
έθανεν. Ἶλος δὲ εἰς Φρυγίαν ἀφικόμενος καὶ καταλαβὼν 3
ὑπὸ τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα νικᾷ πά-
λην· καὶ λαβὼν ἆθλον πεντήκοντα κούρους καὶ κόρας
τὰς ἴσας, δόντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ
βοῦν ποικίλην, καὶ φράσαντος ἐν ᾧπερ ἂν αὐτὴ κλιθῇ
τόπῳ πόλιν κτίζειν, εἵπετο τῇ βοΐ. ἣ δὲ ἀφικομένη ἐπὶ 2
τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κλίνεται· ἔνθα
πόλιν κτίσας Ἶλος ταύτην μὲν Ἴλιον ἐκάλεσε, τῷ δὲ Διὶ
σημεῖον εὐξάμενος αὐτῷ τι φανῆναι, μεθ' ἡμέραν τὸ

διιπετὲς παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεάσατο.
3 ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς δὲ ποσὶ συμβεβηκός,
καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον ἔχον τῇ δὲ ἑτέρᾳ ἠλα-
4 κάτην καὶ ἄτρακτον. ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου
τοιήδε φέρεται. φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ
Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας
δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προ-
5 ελθεῖν, μελλούσης δὲ πλήττειν τῆς Παλλάδος τὸν Δία
φοβηθέντα τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν
ἀναβλέψαι, καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πε-
6 σεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ' αὐτῇ γενομένην, ξόα-
νον ἐκείνης ὅμοιον κατασκευάσασαν, καὶ περιθεῖναι τοῖς
στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾶν ἱδρυσαμένην παρὰ
7 τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας μετὰ τὴν φθορὰν τούτῳ
προσφυγούσης, Δία ῥῖψαι μετ' αὐτῆς καὶ τὸ παλλάδιον
εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτου ναὸν κατασκευά-
σαντα τιμᾶν.

8 καὶ περὶ μὲν παλλαδίου ταῦτα λέγεται· Ἶλος δὲ γή-
μας Εὐρυδίκην τὴν Ἀδράστου Λαομέδοντα ἐγέννησεν,
ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου, κατὰ δέ τινας Πλα-
κίαν τὴν Ἀτρέως, κατ' ἐνίους δὲ Λευκίππην, καὶ τεκνοῖ
παῖδας μὲν Τιθωνὸν Λάμπον Κλυτίον Ἱκετάονα Ποδάρ-
κην, θυγατέρας δὲ Ἡσιόνην καὶ Κίλλαν καὶ Ἀστυόχην,
ἐκ δὲ νύμφης Καλύβης Βουκολίωνα.

4 Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα εἰς Αἰ-
θιοπίαν κομίζει, κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας Ἠμα-
5 θίωνα καὶ Μέμνονα. μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ
Ἡρακλέους, ὡς μικρὸν πρόσθεν ἡμῖν λέλεκται, ἐβασί-
λευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος· καὶ γαμεῖ πρώτην
Ἀρίσβην τὴν Μέροπος, ἐξ ἧς αὐτῷ παῖς Αἴσακος γίνε-
ται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κεβρῆνος θυγατέρα, ἣν
8 πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην

ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν Ἑκάβην τὴν Δύμαν-
τος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς ἕτεροι λέγουσι Σαγ-
γαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῇ πρῶ-
τος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέ-
φους ἔδοξεν Ἑκάβη καθ' ὕπαρ δαλὸν τεκεῖν διάπυρον,
τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν. μα- 3
θὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον, Αἴσακον τὸν
υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μη-
τροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν τῆς πατρί-
δος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος
ἐκέλευσε. Πρίαμος δέ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδω- 4
σιν ἐκθεῖναι οἰκέτῃ κομίσοντι εἰς Ἴδην· ὁ δὲ οἰκέτης
Ἀγέλαος ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος
πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὃ δὲ σωζόμενον εὑ-
ρὼν ἀναιρεῖται, καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον
παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανί- 5
σκος καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις
Ἀλέξανδρος προσωνομάσθη, λῃστὰς ἀμυνόμενος καὶ τοῖς
ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ
πολὺ τοὺς γονέας ἀνεῦρε.

μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέου- 6
σαν Λαοδίκην Πολυξένην Κασσάνδραν, ᾗ συνελθεῖν βου-
λόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν. ἣ
δὲ μαθοῦσα οὐ συνῆλθεν· ὅθεν Ἀπόλλων ἀφείλετο τῆς
μαντικῆς αὐτὸ τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέννησε 7
Δηίφοβον Ἕλενον Πάμμονα Πολίτην Ἄντιφον Ἱππό-
νοον Πολύδωρον Τρωίλον· τοῦτον ἐξ Ἀπόλλωνος λέγε-
ται γεγεννηκέναι.

ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες μὲν γίνονται 8
Μελάνιππος Γοργυθίων Φιλαίμων Ἱππόθοος Γλαῦκος,
Ἀγάθων Χερσιδάμας Εὐαγόρας Ἱπποδάμας Μήστωρ,
Ἄτας Δόρυκλος Λυκάων Δρύοψ Βίας, Χρομίος Ἀστύ-

διιπετὲς παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεάσατο.
3 ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς δὲ ποσὶ συμβεβηκός,
καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον ἔχον τῇ δὲ ἑτέρᾳ ἠλα-
4 κάτην καὶ ἄτρακτον. ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου
τοιήδε φέρεται. φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ
Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας
δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προ-
5 ελθεῖν, μελλούσης δὲ πλήττειν τῆς Παλλάδος τὸν Δία
φοβηθέντα τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν
ἀναβλέψαι, καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πε-
6 σεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ' αὐτῇ γενομένην, ξόα-
νον ἐκείνης ὅμοιον κατασκευάσασαν, καὶ περιθεῖναι τοῖς
στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾶν ἱδρυσαμένην παρὰ
7 τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας μετὰ τὴν φθορὰν τούτῳ
προσφυγούσης, Δία ῥῖψαι μετ' αὐτῆς καὶ τὸ παλλάδιον
εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτου ναὸν κατασκευά-
σαντα τιμᾶν.

8 καὶ περὶ μὲν παλλαδίου ταῦτα λέγεται· Ἶλος δὲ γή-
μας Εὐρυδίκην τὴν Ἀδράστου Λαομέδοντα ἐγέννησεν,
ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου, κατὰ δέ τινας Πλα-
κίαν τὴν Ἀτρέως, κατ' ἐνίους δὲ Λευκίππην, καὶ τεκνοῖ
παῖδας μὲν Τιθωνὸν Λάμπον Κλυτίον Ἱκετάονα Ποδάρ-
κην, θυγατέρας δὲ Ἡσιόνην καὶ Κίλλαν καὶ Ἀστυόχην,
ἐκ δὲ νύμφης Καλύβης Βουκολίωνα.

4 Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα εἰς Αἰ-
θιοπίαν κομίζει, κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας Ἠμα-
5 θίωνα καὶ Μέμνονα. μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ
Ἡρακλέους, ὡς μικρὸν πρόσθεν ἡμῖν λέλεκται, ἐβασί-
λευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος· καὶ γαμεῖ πρώτην
Ἀρίσβην τὴν Μέροπος, ἐξ ἧς αὐτῷ παῖς Αἴσακος γίνε-
ται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κεβρῆνος θυγατέρα, ἣν
2 πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην

ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν Ἑκάβην τὴν Δύμαν-
τος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς ἕτεροι λέγουσι Σαγ-
γαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῇ πρῶ-
τος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέ-
φους ἔδοξεν Ἑκάβη καθ' ὕπαρ δαλὸν τεκεῖν διάπυρον,
τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν. μα- 3
θὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον, Αἴσακον τὸν
υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μη-
τροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν τῆς πατρί-
δος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος
ἐκέλευσε. Πρίαμος δέ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδω- 4
σιν ἐκθεῖναι οἰκέτῃ κομίσοντι εἰς Ἴδην· ὁ δὲ οἰκέτης
Ἀγέλαος ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος
πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὁ δὲ σωζόμενον εὑ-
ρὼν ἀναιρεῖται, καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον
παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανί- 5
σκος καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις
Ἀλέξανδρος προσωνομάσθη, λῃστὰς ἀμυνόμενος καὶ τοῖς
ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ
πολὺ τοὺς γονέας ἀνεῦρε.

μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέου- 6
σαν Λαοδίκην Πολυξένην Κασσάνδραν, ᾗ συνελθεῖν βου-
λόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν. ἣ
δὲ μαθοῦσα οὐ συνῆλθεν· ὅθεν Ἀπόλλων ἀφείλετο τῆς
μαντικῆς αὐτὸ τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέννησε 7
Δηίφοβον Ἕλενον Πάμμονα Πολίτην Ἄντιφον Ἱππό-
νοον Πολύδωρον Τρωίλον· τοῦτον ἐξ Ἀπόλλωνος λέγε-
ται γεγεννηκέναι.

ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες μὲν γίνονται 8
Μελάνιππος Γοργυθίων Φιλαίμων Ἱππόθοος Γλαῦκος,
Ἀγάθων Χερσιδάμας Εὐαγόρας Ἱπποδάμας Μήστωρ,
Ἄτας Δόρυκλος Λυκάων Δρύοψ Βίας, Χρομίος Ἀστύ-

9 γονος Τελέστας Εὔανδρος Κεβριόνης, Μήλιος Ἀρχέμα-
χος Λαοδόκος Ἐχέφρων Ἰδομενεύς, Ὑπερίων Ἀσκάνιος
Δημοκόων Ἄρρητος Δηιοπίτης, Κλονίος Ἐχέμων Ὑπεί-
ροχος Αἰγεωνεὺς Λυσίθοος Πολυμέδων, θυγατέρες δὲ
Μέδουσα Μηδεσικάστη Λυσιμάχη Ἀριστοδήμη.

6 Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ,
Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ θυ-
γατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα προὔ-
λεγεν Ἀλεξάνδρῳ· μὴ πλεῖν ἐπὶ Ἑλένην, μὴ πείθουσα
δὲ εἶπεν, ἐὰν τρωθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνη
2 γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης
ἁρπάσαι, πολεμουμένης δὲ Τροίας τοξευθέντα ὑπὸ Φι-
λοκτήτου τόξοις Ἡρακλείοις πρὸς Οἰνώνην ἐπανελθεῖν
3 εἰς Ἴδην. ἡ δὲ μνησικακοῦσα θεραπεῦσαι οὐκ ἔφη. Ἀλέ-
ξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα, Οἰ-
νώνη δὲ μετανοήσασα τὰ πρὸς θεραπείαν φάρμακα ἔφερε,
καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.

4 ὁ δὲ Ἀσωπὸς ποταμὸς Ὠκεανοῦ καὶ Τηθύος, ὡς δὲ
Ἀκουσίλαος λέγει, Πηροῦς καὶ Ποσειδῶνος, ὡς δέ τινες,
Διὸς καὶ Εὐρυνόμης. οὗτος Μετώπην γημάμενος (Λά-
δωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη) δύο μὲν παῖδας
ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέ-
5 ρας, ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσω-
πὸς ζητῶν ἧκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σι-
σύφου τὸν ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν
κεραυνώσας διώκοντα πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε
ῥεῖθρα (διὰ τοῦτο μέχρι καὶ νῦν ἐκ τῶν τούτου ῥείθρων
6 ἄνθρακες φέρονται), Αἴγιναν δὲ εἰσκομίσας εἰς τὴν τότε
Οἰνώνην λεγομένην νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης
κληθεῖσαν, μίγνυται, καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν.
τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀν-
7 θρώπους ἐποίησε. γαμεῖ δὲ Αἰακὸς Ἐνδηίδα τὴν Σκεί-

ρωνος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο Πηλεύς τε καὶ Τε-
λαμών. Φερεκύδης δέ φησι Τελαμῶνα φίλον, οὐκ ἀδελ-
φὸν Πηλέως εἶναι, ἀλλ' Ἀκταίου παῖδα καὶ Γλαύκης
τῆς Κυχρέως. μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ 8
Νηρέως εἰς φώκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι
συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον.

ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. διὸ καὶ τὴν 9
Ἑλλάδα κατεχούσης ἀφορίας διὰ Πέλοπα, ὅτι Στυμφά-
λῳ τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν, τὴν Ἀρκαδίαν
ἑλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν ἔκτεινεν
αὐτὸν καὶ διέσπειρε μελεΐσας, χρησμοὶ θεῶν ἔλεγον 10
ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα,
ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσεται. ποιησαμένου
δὲ εὐχὰς Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται.
τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακός, καὶ
τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει.

διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς 11
Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ
Τελαμὼν συγγυμναζόμενον αὐτὸν βαλὼν δίσκῳ κατὰ
τῆς κεφαλῆς κτείνει, καὶ κομίσας μετὰ Πηλέως κρύπτει
κατά τινος ὕλης. φωραθέντος δὲ τοῦ φόνου φυγάδες
ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται. καὶ Τελαμὼν μὲν 7
εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν Ποσειδῶνος
καὶ Σαλαμῖνος τῆς Ἀσωποῦ. κτείνας δὲ ὄφιν οὗτος ἀδι-
κοῦντα τὴν νῆσον ἧς αὐτὸς ἐβασίλευε, καὶ τελευτῶν
ἄπαις τὴν βασιλείαν παραδίδωσι Τελαμῶνι. ὃ δὲ γαμεῖ 2
Περίβοιαν τὴν Ἀλκάθου τοῦ Πέλοπος· καὶ ποιησαμέ-
νου εὐχὰς Ἡρακλέους ἵνα αὐτῷ παῖς ἄρρην γένηται,
φανέντος δὲ μετὰ τὰς εὐχὰς ἀετοῦ, τὸν γεννηθέντα ἐκά-
λεσεν Αἴαντα. καὶ στρατευσάμενος ἐπὶ Τροίαν σὺν 3
Ἡρακλεῖ λαμβάνει γέρας Ἡσιόνην τὴν Λαομέδοντος
θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.

13 *Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν*
Ἄκτορος ὑπ' αὐτοῦ καθαίρεται, καὶ λαμβάνει παρ' αὐ-
τοῦ τὴν θυγατέρα Ἀντιγόνην καὶ τῆς χώρας τὴν τρί-
την μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτοῦ Πολυδώρα, ἣν
2 *ἔγημε Βῶρος ὁ Περιήρους. ἐντεῦθεν δὲ ἐπὶ τὴν θήραν*
τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προ-
έμενος ἐπὶ τὸν σῦν ἀκόντιον Εὐρυτίωνος τυγχάνει καὶ
κτείνει τοῦτον ἄκων. πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν
εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ ὑπ' αὐτοῦ
3 *καθαίρεται. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα,*
πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια Ἀκάστου
γυνή, Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν
2 *αὐτῷ λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα*
αὐτοῦ πέμψασα ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην
τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα
ἀγχόνην ἀνάπτει. Πηλέως δὲ πρὸς Ἄκαστον καταψεύ-
δεται, λέγουσα ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειράσθαι.
3 *ἃ Ἄκαστος ἀκούσας κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβου-*
λήθη, ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν
ἁμίλλης περὶ θήρας γενομένης, Πηλεὺς μὲν οὖν, ὧν
ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς
πήραν ἐτίθει, οἱ δὲ μετ' Ἀκάστου ταῦτα χειρούμενοι
4 *κατεγέλων ὡς μηδὲν τεθηρευκότος τοῦ Πηλέως. ὃ δὲ*
τὰς γλώσσας παρασχόμενος, ὅσας εἶχεν, ἐκείνοις, το-
σαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος αὐτοῦ ἐν τῷ
Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ
5 *τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται. ὃ δὲ ἐξαναστὰς*
καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων κατα-
ληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σῴζεται δὲ ὑπὸ Χείρωνος.
οὗτος καὶ τὴν μάχαιραν αὐτοῦ ἐκζητήσας δίδωσι.
4 *γαμεῖ δὲ ὁ Πηλεὺς Πολυδώραν τὴν Περιήρους, ἐξ*
ἧς αὐτῷ γίνεται Μενέσθιος ἐπίκλην, ὁ Σπερχειοῦ τοῦ

ποταμοῦ. αὖθις δὲ γαμεῖ Θέτιν τὴν Νηρέως, περὶ ἧς 5
τοῦ γάμου Ζεὺς καὶ Ποσειδῶν ἤρισαν, Θέμιδος δὲ θε-
σπιῳδούσης ἔσεσθαι τὸν ἐκ ταύτης γεννηθέντα κρείτ-
τονα τοῦ πατρὸς ἀπέσχοντο. ἔνιοι δέ φασι, Διὸς ὁρμῶν- 2
τος ἐπὶ τὴν ταύτης συνουσίαν, εἰρηκέναι Προμηθέα τὸν
ἐκ ταύτης αὐτῷ γεννηθέντα οὐρανοῦ δυναστεύσειν.
τινὲς δὲ λέγουσι μὴ βουληθῆναι Θέτιν Διὶ συνελθεῖν
ὑπὸ Ἥρας τραφεῖσαν, Δία δὲ ὀργισθέντα θνητῷ ἐθέ-
λειν αὐτὴν συνοικῆσαι. Χείρωνος μὲν οὖν ὑποθεμένου 3
Πηλεῖ συλλαβεῖν καὶ κατέχειν αὐτὴν μεταμορφουμένην,
ἐπιτηρήσας συναρπάζει, γινομένην δὲ ὁτὲ μὲν πῦρ ὁτὲ
δὲ ὕδωρ ὁτὲ δὲ θηρίον οὐ πρότερον ἀν῀κε πρὶν ἢ τὴν
ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ 4
Πηλίῳ, κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν.
καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ
ἵππους Βαλίον τε καὶ Ξάνθον· ἀθάνατοι δὲ ἦσαν οὗτοι.
ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον 6
θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρυ-
βοῦσα τῆς νυκτὸς ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον,
μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας 2
καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε·
καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον
τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρηΐδας ᾤχετο. κομίζει δὲ
τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὃ δὲ λαβὼν αὐτὸν 3
ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων
μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα (πρότερον μὲν ἦν ὄνομα
αὐτῷ Λιγύρων) ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε.
Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις 7
ἐπόρθησεν Ἰωλκόν, καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυ-
ναῖκα φονεύει, καὶ διελὼν μεληδὸν διήγαγε δι' αὐτῆς
τὸν στρατὸν εἰς τὴν πόλιν.
ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεύς, Κάλχαντος λέ- 8

γοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι,
Θέτις προειδυῖα ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέ-
σθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ ὡς παρθένον παρ-
2 έθετο... κἀκεῖ τρεφόμενος τῇ Λυκομήδους θυγατρὶ Δηι-
δαμείᾳ μίγνυται, καὶ γίνεται παῖς Πύρρος αὐτῷ ὁ κλη-
θεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ
Λυκομήδους ζητῶν Ἀχιλλέα, σάλπιγγι χρησάμενος εὗρε.
καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε.

3 συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Ἀμύντορος. οὗτος ὑπὸ
τοῦ πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας
τῆς τοῦ πατρὸς παλλακίδος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χεί-
ρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις βα-
σιλέα κατέστησε Δολόπων.

4 συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθε-
νέλης τῆς Ἀκάστου ἢ Περιάπιδος τῆς Φέρητος, ἢ καθά-
περ φησὶ Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος
ἐν Ὀποῦντι διενεχθεὶς ἐν παιδιᾷ περὶ ἀστραγάλων παῖ-
δα Κλυτώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε, καὶ φυ-
γὼν μετὰ τοῦ πατρὸς παρὰ Πηλεῖ κατῴκει, καὶ Ἀχιλ-
λέως ἐρώμενος γίνεται. . .

14 Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ
δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν
γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ' ἑαυτοῦ Κεκροπίαν
ὠνόμασεν. ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις
καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος.
2 ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλή-
ξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀπέφηνε θά-
λασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον
ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα
μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ
3 δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας,
Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς κριτὰς ἔδωκεν

οὐχ ὡς εἶπόν τινες, Κέκροπα καὶ Κραναόν, οὐδὲ Ἐρυ-
σίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων 4
ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος
ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ'
ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ
ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν
ὕφαλον ἐποίησε.

Κέκροψ δὲ γήμας τὴν Ἀκταίου κόρην Ἄγραυλον 2
παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε,
θυγατέρας δὲ Ἄγραυλον Ἕρσην Πάνδροσον. Ἀγραύλου
μὲν οὖν καὶ Ἄρεος Ἀλκίππη γίνεται. ταύτην βιαζόμε- 2
νος Ἁλιρρόθιος ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης ὑπὸ
Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πά-
γῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν, Ἄρει, καὶ
ἀπολύεται.

Ἕρσης δὲ καὶ Ἑρμοῦ Κέφαλος, οὗ ἐρασθεῖσα Ἠὼς 3
ἥρπασε καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε Τιθωνόν,
οὗ παῖς ἐγένετο Φαέθων, τούτου δὲ Ἀστύνοος, τοῦ δὲ
Σάνδακος, ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν, πόλιν ἔκτισε
Κελένδεριν, καὶ γήμας Φαρνάκην τὴν Μεγεσσάρου τοῦ
Ὑριέων βασιλέως ἐγέννησε Κινύραν. οὗτος ἐν Κύπρῳ, 2
παραγενόμενος σὺν λαῷ, ἔκτισε Πάφον, γήμας δὲ ἐκεῖ
Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων βασιλέως,
Ὀξύπορον ἐγέννησε καὶ Ἄδωνιν, πρὸς δὲ τούτοις θυγα-
τέρας Ὀρσεδίκην Λαογόρην καὶ Βραισίαν. αὗται δὲ διὰ
μῆνιν Ἀφροδίτης ἀλλοτρίοις ἀνδράσι συνευναζόμεναι
τὸν βίον ἐν Αἰγύπτῳ μετήλλαξαν. Ἄδωνις δὲ ἔτι παῖς 4
ὢν Ἀρτέμιδος χόλῳ πληγεὶς ἐν θήραις ὑπὸ συὸς ἀπέθα-
νεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ Ἀλφεσιβοίας λέ-
γει, Πανύασις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων,
ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδί- 2
της (οὐ γάρ αὐτὴν ἐτίμα) ἴσχει τοῦ πατρὸς ἔρωτα, καὶ

συνεργὸν λαβοῦσα τὴν τροφὸν ἀγνοοῦντι τῷ πατρὶ νύ-
κτας δώδεκα συνευνάσθη. ὃ δὲ ὡς ᾔσθετο, σπασάμενος
ξίφος ἐδίωκεν αὐτήν· ἣ δὲ περικαταλαμβανομένη θεοῖς
3 ηὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ κατοικτείραντες αὐ-
τὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκα-
μηνιαίῳ δὲ ὕστερον χρόνῳ τοῦ δένδρου ῥαγέντος γεννη-
θῆναι τὸν λεγόμενον Ἄδωνι, ὃν Ἀφροδίτη διὰ κάλλος
ἔτι νήπιον, κρύφα θεῶν, εἰς λάρνακα κρύψασα Περσε-
4 φόνῃ παρίστατο. ἐκείνη δὲ ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου.
κρίσεως δὲ ἐπὶ Διὸς γενομένης εἰς μοίρας διῃρέθη ὁ
ἐνιαυτός, καὶ μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν,
μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρ'
5 Ἀφροδίτῃ. ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν
μοῖραν. ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς
ἀπέθανε.

5 Κέκροπος δὲ ἀποθανόντος Κραναὸς αὐτόχθων ὤν,
ἐφ' οὗ τὸν ἐπὶ Δευκαλίωνος λέγεται κατακλυσμὸν γε-
νέσθαι, οὗτος γήμας ἐκ Λακεδαίμονος Πεδιάδα τὴν Μύ-
νητος ἐγέννησε Κραναὴν καὶ Κραναίχμην καὶ Ἀτθίδα,
ἧς ἀποθανούσης ἔτι παρθένου τὴν χώραν Κραναὸς Ἀτ-
θίδα προσηγόρευσε.

6 Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε· τοῦ-
τον ἔνιοι μὲν Δευκαλίωνος ἔνιοι δὲ αὐτόχθονα λέγουσι.
βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλ-
λει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγα-
τρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθη-
2 νᾶς, οὕτως. Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον, ὅπλα
κατασκευάσαι θέλουσα. ὃ δὲ ἐγκαταλελειμμένος ὑπὸ
Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε τῆς Ἀθηνᾶς, καὶ διώ-
3 κειν αὐτὴν ἤρξατο· ἣ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς
ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλός), ἐπειρᾶτο συνελ-
θεῖν. ἣ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἠνέσχετο.

ὃ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς. ἐκείνη δὲ
μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔρριψε.
φευγούσης δὲ αὐτῆς, καὶ τῆς γονῆς εἰς γῆν πεσούσης, 4
Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων
θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι· καὶ κατα-
θεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρα-
κατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελ- 5
φαὶ τῆς Πανδρόσου ἠνοίγουσιν ὑπὸ περιεργίας, καὶ
θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα· καὶ
ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διεφθάρησαν τοῦ
δράκοντος, ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γε-
νόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔρριψαν. ἐν δὲ τῷ 6
τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς, ἐκβα-
λὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ τὸ ἐν ἀκρο-
πόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν παναθη-
ναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν νηίδα
νύμφην ἔγημεν, ἐξ ἧς παῖς Πανδίων ἐγεννήθη.

Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν τῷ τε- 7
μένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ' οὗ Δημή-
τηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ Δήμη-
τρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο, Διόνυσον
δὲ Ἰκάριος, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου.
καὶ τὰ περὶ τὴν οἰνοποιίαν μανθάνων, καὶ τὰς τοῦ θεοῦ 2
δωρήσασθαι θέλων χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός
τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδα-
τος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομί-
ζοντες ἀπέκτειναν αὐτόν. μεθ' ἡμέραν δὲ νοήσαντες 3
ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ τῇ θυγατρὶ τὸν πατέρα
μαστευούσῃ κύων συνήθης ὄνομα Μαῖρα, ἣ τῷ Ἰκαρίῳ
συνείπετο, τὸν νεκρὸν ἐμήνυσε· κἀκείνη κατοδυρομένη
τὸν πατέρα ἑαυτὴν ἀνήρτησε.

Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελ- 8

φὴν θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν,
παῖδας δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ
ἐξαναστάντος πρὸς Λάβδακον περὶ γῆς ὅρων ἐπεκαλέ-
σατο βοηθὸν ἐκ Θρᾴκης Τηρέα τὸν Ἄρεος, καὶ τὸν πό-
λεμον σὺν αὐτῷ κατορθώσας ἔδωκε Τηρεῖ πρὸς γάμον
2 τὴν ἑαυτοῦ θυγατέρα Πρόκνην. ὁ δὲ ἐκ ταύτης γεννή-
σας παῖδα Ἴτυν, καὶ Φιλομήλας ἐρασθεὶς ἔφθειρε καὶ
ταύτην, εἰπὼν τεθνάναι Πρόκνην, κρύπτων ἐπὶ τῶν χω-
ρίων. αὖθις δὲ γήμας Φιλομήλαν συνηυνάζετο, καὶ τὴν
3 γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ ὑφήνασα ἐν πέπλῳ γράμ-
ματα καὶ διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφο-
ράς. ἡ δὲ ἀναζητήσασα τὴν ἀδελφὴν κτείνει τὸν παῖδα
Ἴτυν, καὶ καθεψήσασα Τηρεῖ δεῖπνον ἀγνοοῦντι παρα-
4 τίθησι· καὶ μετὰ τῆς ἀδελφῆς διὰ ταχέων ἔφυγε. Τη-
ρεὺς δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν ἐδίωκεν. αἳ δὲ
ἐν Δαυλίᾳ τῆς Φωκίδος γινόμεναι περικατάληπτοι θεοῖς
εὔχονται ἀπορνεωθῆναι, καὶ Πρόκνη μὲν γίνεται ἀηδών,
Φιλομήλα δὲ χελιδών. ἀπορνεοῦται δὲ καὶ Τηρεύς, καὶ
γίνεται ἔποψ.

15 Πανδίονος δὲ ἀποθανόντος οἱ παῖδες τὰ πατρῷα ἐμε-
ρίσαντο, καὶ τὴν μὲν βασιλείαν Ἐρεχθεὺς λαμβάνει,
τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ
2 Εριχθονίου Βούτης. γήμας δὲ Ἐρεχθεὺς Πραξιθέαν τὴν
Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ, ἔσχε παῖδας μὲν
Κέκροπα Πάνδωρον Μητίονα, θυγατέρας δὲ Πρόκριν
Κρέουσαν Χθονίαν Ὠρείθυιαν, ἣν ἥρπασε Βορέας.

3 Χθονίαν μὲν οὖν ἔγημε Βούτης, Κρέουσαν δὲ Ξοῦ-
θος, Πρόκριν δὲ Κέφαλος ὁ Δηιόνος. ἡ δὲ λαβοῦσα χρυ-
σοῦν στέφανον Πτελέοντι συνευνάζεται, καὶ φωραθεῖσα
4 ὑπὸ Κεφάλου πρὸς Μίνωα φεύγει. ὁ δὲ αὐτῆς ἐρᾷ καὶ
πείθει συνελθεῖν. εἰ δέ γε συνέλθοι γυνὴ Μίνωι, ἀδύ-
νατον ἦν αὐτὴν σωθῆναι· Πασιφάη γάρ, ἐπειδὴ πολ-

λαῖς Μίνως συνηυνάζετο γυναιξίν, ἐφαρμάκευσεν αὐ-
τόν, καὶ ὁπότε ἄλλῃ συνηυνάζετο, εἰς τὰ ἄρθρα ἀφίει
θηρία, καὶ οὕτως ἀπώλλυντο. ἔχοντος οὖν αὐτοῦ κύνα 5
ταχὺν ἀκόντιόν τε ἰθυβόλον, ἐπὶ τούτοις Πρόκρις, δοῦσα
τὴν Κιρκαίαν πιεῖν ῥίζαν πρὸς τὸ μηδὲν βλάψαι, συν-
ευνάζεται. δείσασα δὲ αὖθις τὴν Μίνωος γυναῖκα ἧκεν
εἰς Ἀθήνας, καὶ διαλλαγεῖσα Κεφάλῳ μετὰ τούτου παρα- 6
γίνεται ἐπὶ θήραν· ἦν γὰρ θηρευτική. διωκούσης δὲ
αὐτῆς ἐν τῇ λόχμῃ ἀγνοήσας Κέφαλος ἀκοντίζει, καὶ τυ-
χὼν ἀποκτείνει Πρόκριν. καὶ κριθεὶς ἐν Ἀρείῳ πάγῳ
φυγὴν ἀίδιον καταδικάζεται.

Ὠρείθυιαν δὲ περῶσαν ἐπὶ Ἰλισσοῦ ποταμοῦ ἁρπά- 2
σας Βορέας συνῆλθεν· ἡ δὲ γεννᾷ θυγατέρας μὲν Κλεο-
πάτραν καὶ Χιόνην, υἱοὺς δὲ Ζήτην καὶ Κάλαϊν πτερω-
τούς, οἳ πλέοντες σὺν Ἰάσονι καὶ τὰς ἁρπυίας διώκοντες
ἀπέθανον, ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ Τῆνον ὑφ᾽
Ἡρακλέους ἀπώλοντο. Κλεοπάτραν δὲ ἔγημε Φινεύς, ᾧ 3
γίνονται παῖδες ἐξ αὐτῆς Πλήξιππος καὶ Πανδίων. ἔχων
δὲ τούτους ἐκ Κλεοπάτρας παῖδας Ἰδαίαν ἐγάμει τήν
Δαρδάνου. κἀκείνη τῶν προγόνων πρὸς Φινέα φθορὰν
καταψεύδεται, καὶ πιστεύσας Φινεὺς ἀμφοτέρους τυφλοῖ.
παραπλέοντες δὲ οἱ Ἀργοναῦται σὺν Βορέᾳ κολάζονται
αὐτόν.

Χιόνη δὲ Ποσειδῶνι μίγνυται. ἡ δὲ κρύφα τοῦ πα- 4
τρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής, εἰς
τὸν βυθὸν ῥίπτει τὸ παιδίον. Ποσειδῶν δὲ ἀνελόμενος
εἰς Αἰθιοπίαν κομίζει καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν,
αὐτοῦ θυγατρὶ καὶ Ἀμφιτρίτης. ὡς δὲ ἐτελειώθη, Ἔνδιος 2
ὁ Βενθεσικύμης ἀνὴρ τὴν ἑτέραν αὐτῷ τῶν θυγατέρων
δίδωσιν. ὁ δὲ καὶ τὴν ἀδελφὴν τῆς γαμηθείσης ἐπεχεί-
ρησε βιάζεσθαι, καὶ διὰ τοῦτο φυγαδευθεὶς μετὰ Ἰσμά-
ρου τοῦ παιδὸς πρὸς Τεγύριον ἧκε, Θρᾳκῶν βασιλέα,

3 ὃς αὐτοῦ τῷ παιδὶ τὴν θυγατέρα συνῴκισεν. ἐπιβου-
λεύων δὲ ὕστερον Τεγυρίῳ καταφανὴς γίνεται, καὶ πρὸς
Ἐλευσινίους φεύγει, καὶ φιλίαν ποιεῖται πρὸς αὐτούς.
αὖθις δὲ Ἰσμάρου τελευτήσαντος μεταπεμφθεὶς ὑπὸ Τε-
γυρίου παραγίνεται, καὶ τὴν πρὸ τοῦ μάχην διαλυσάμε-
4 νος τὴν βασιλείαν παρέλαβε. καὶ πολέμου ἐνστάντος
πρὸς Ἀθηναίους τοῖς Ἐλευσινίοις, ἐπικληθεὶς ὑπὸ Ἐλευ-
σινίων μετὰ πολλῆς συνεμάχει Θρᾳκῶν δυνάμεως. Ἐρε-
χθεῖ δὲ ὑπὲρ Ἀθηναίων νίκης χρωμένῳ ἔχρησεν ὁ θεὸς
κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν τῶν θυγατέρων
5 σφάξῃ. καὶ σφάξαντος αὐτοῦ τὴν νεωτάτην καὶ αἱ λοι-
παὶ ἑαυτὰς κατέσφαξαν· ἐπεποίηντο γάρ, ὥς ἔφασάν
τινες, συνωμοσίαν ἀλλήλαις συναπολέσθαι. γενομένης
δὲ μετὰ τὴν σφαγὴν τῆς μάχης Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔ-
5 μολπον, Ποσειδῶνος δὲ καὶ τὸν Ἐρεχθέα καὶ τὴν οἰκίαν
αὐτοῦ καταλύσαντος, Κέκροψ ὁ πρεσβύτατος τῶν Ἐρε-
χθέως παίδων ἐβασίλευσεν, ὃς γήμας Μητιάδουσαν τὴν
2 Εὐπαλάμου παῖδα ἐτέκνωσε Πανδίονα. οὗτος μετὰ Κέ-
κροπα βασιλεύων ὑπὸ τῶν Μητίονος υἱῶν κατὰ στάσιν
ἐξεβλήθη, καὶ παραγενόμενος εἰς Μέγαρα πρὸς Πύλαν
3 τὴν ἐκείνου θυγατέρα Πυλίαν γαμεῖ. αὖθις καὶ τῆς πό-
λεως βασιλεὺς ὑπ' αὐτῆς καθίσταται· κτείνας γὰρ Πύ-
λας τὸν τοῦ πατρὸς ἀδελφὸν Βίαντα τὴν βασιλείαν δί-
δωσι Πανδίονι, αὐτὸς δὲ εἰς Πελοπόννησον σὺν λαῷ
παραγενόμενος κτίζει πόλιν Πύλον.
4 Πανδίονι δὲ ἐν Μεγάροις ὄντι παῖδες ἐγένοντο Αἰ-
γεὺς Πάλλας Νῖσος Λύκος. ἔνιοι δὲ Αἰγέα Σκυρίου εἶ-
6 ναι λέγουσιν, ὑποβληθῆναι δὲ ὑπὸ Πανδίονος. μετὰ δὲ
τὴν Πανδίονος τελευτὴν οἱ παῖδες αὐτοῦ στρατεύσαντες
ἐπ' Ἀθήνας ἐξέβαλον τοὺς Μητιονίδας καὶ τὴν ἀρχὴν
τετραχῇ διεῖλον· εἶχε δὲ τὸ πᾶν κράτος Αἰγεύς. γαμεῖ
δὲ πρῶτον μὲν Μήταν τὴν Ὁπλῆτος, δευτέραν δὲ Χαλ-

κιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγένετο παῖς αὐτῷ, 2
δεδοικὼς τοὺς ἀδελφοὺς εἰς Πυθίαν ἦλθε καὶ περὶ παί-
δων γονῆς ἐμαντεύετο. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ

ἀσκοῦ τὸν προύχοντα πόδα, μέγα φέρτατε λαῶν,
μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

ἀπορῶν δὲ τὸν χρησμὸν ἀνῄει πάλιν εἰς Ἀθήνας. καὶ 7
Τροιζῆνα διοδεύων ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος, ὃς
τὸν χρησμὸν συνείς, μεθύσας αὐτὸν τῇ θυγατρὶ συγκατ-
έκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλη-
σίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ, ἐὰν ἄρ- 2
ρενα γεννήσῃ, τρέφειν καὶ τίνος ἔσται μὴ λέγειν, ἀπ-
έλιπεν ὑπό τινι πέτρᾳ μάχαιραν καὶ πέδιλα, εἰπών, ὅταν
ὁ παῖς δύνηται τὴν πέτραν ἀποκυλίσας ἀνελέσθαι ταῦ-
τα, τότε μετ' αὐτῶν αὐτὸν ἀποπέμπειν. αὐτὸς δὲ ἧκεν 3
εἰς Ἀθήνας, καὶ τὸν τῶν παναθηναίων ἀγῶνα ἐπετέλει,
ἐν ᾧ ὁ Μίνωος παῖς Ἀνδρόγεως ἐνίκησε πάντας. τοῦ-
τον Αἰγεὺς ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον, ὑφ'
οὗ διεφθάρη. ἔνιοι δὲ αὐτὸν λέγουσι πορευόμενον εἰς
Θήβας ἐπὶ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀγωνιστῶν ἐνε-
δρευθέντα διὰ φθόνον ἀπολέσθαι. Μίνως δέ, ἀγγελ- 4
θέντος αὐτῷ τοῦ θανάτου, θύων ἐν Πάρῳ ταῖς χάρισι,
τὸν μὲν στέφανον ἀπὸ τῆς κεφαλῆς ἔρριψε καὶ τὸν αὐ-
λὸν κατέσχε, καὶ τὴν θυσίαν οὐδὲν ἧττον ἐπετέλεσεν·
ὅθεν ἔτι καὶ δεῦρο χωρὶς αὐλῶν καὶ στεφάνων ἐν Πάρῳ
θύουσι ταῖς χάρισι. μετ' οὐ πολὺ δὲ θαλασσοκρατῶν 8
ἐπολέμησε στόλῳ τὰς Ἀθήνας, καὶ Μέγαρα εἷλε Νίσου
βασιλεύοντος τοῦ Πανδίονος, καὶ Μεγαρέα τὸν Ἱππο-
μένους ἐξ Ὀγχηστοῦ Νίσῳ βοηθὸν ἐλθόντα ἀπέκτεινεν.
ἀπέθανε δὲ καὶ Νῖσος διὰ θυγατρὸς προδοσίαν. ἔχοντι 2
γὰρ αὐτῷ πορφυρέαν ἐν μέσῃ τῇ κεφαλῇ τρίχα ... ταύ-
της ἀφαιρεθείσης τελευτᾷ· ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα
ἐρασθεῖσα Μίνωος ἐξεῖλε τὴν τρίχα. Μίνως δὲ Μεγά-

ρων κρατήσας καὶ τὴν κόρην τῆς πρύμνης τῶν ποδῶν
ἐκδήσας ὑποβρύχιον ἐποίησε.
3 χρονιζομένου δὲ τοῦ πολέμου, μὴ δυνάμενος ἑλεῖν
Ἀθήνας εὔχεται Διὶ παρ' Ἀθηναίων λαβεῖν δίκας. γε-
νομένου δὲ τῇ πόλει λιμοῦ τε καὶ λοιμοῦ, τὸ μὲν πρῶτον
κατὰ λόγιον Ἀθηναῖοι παλαιὸν τὰς Ὑακίνθου κόρας,
Ἀνθηίδα Αἰγληίδα Λουσίαν Ὀρθαίαν, ἐπὶ τὸν Γεραί-
4 στου τοῦ Κύκλωπος τάφον κατέσφαξαν· τούτων δὲ ὁ
πατὴρ Ὑάκινθος ἐλθὼν ἐκ Λακεδαίμονος Ἀθήνας κατῴ-
κει. ὡς δὲ οὐδὲν ὄφελος ἦν τούτου, ἐχρῶντο περὶ ἀπαλ-
λαγῆς. ὁ δὲ θεὸς ἀνεῖπεν αὐτοῖς Μίνωι διδόναι δίκας
5 ἃς ἂν αὐτὸς αἱρῆται. πέμψαντες οὖν πρὸς Μίνωα ἐπ-
έτρεπον αἰτεῖν δίκας. Μίνως δὲ ἐκέλευσεν αὐτοῖς κού-
ρους ἑπτὰ καὶ κόρας τὰς ἴσας χωρὶς ὅπλων πέμπειν τῷ
6 Μινωταύρῳ βοράν. ἦν δὲ οὗτος ἐν Λαβυρίνθῳ καθ-
ειργμένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι·
πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπ-
έκλειε. κατεσκευάκει δὲ αὐτὸν Δαίδαλος ὁ Εὐπαλάμου
παῖς τοῦ Μητίονος καὶ Ἀλκίππης. οὗτος ἦν ἀρχιτέκτων
9 ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. οὗτος ἐξ Ἀθη-
νῶν ἔφυγεν, ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελ-
φῆς Πέρδικος υἱὸν Τάλω, μαθητὴν ὄντα, δείσας μὴ διὰ
τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ· σιαγόνα γὰρ ὄφεως εὑ-
2 ρὼν ξύλον λεπτὸν ἔπρισε. φωραθέντος δὲ τοῦ νεκροῦ
κριθεὶς ἐν Ἀρείῳ πάγῳ, καταδικασθεὶς πρὸς Μίνωα
ἔφυγε, κἀκεῖ Πασιφάης ἐρασθείσης τοῦ Ποσειδῶνος ταύ-
ρου συνήργησε τεχνησάμενος ξυλίνην βοῦν, καὶ τὸν Λα-
βύρινθον κατεσκεύασεν, εἰς ὃν κατὰ ἔτος Ἀθηναῖοι κού-
ρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν
ἔπεμπον.
16 Θησεὺς δὲ γεννηθεὶς ἐξ Αἴθρας Αἰγεῖ παῖς, ὡς ἐγε-
νήθη τέλειος, ἀπωσάμενος τὴν πέτραν τὰ πέδιλα καὶ

τὴν μάχαιραν ἀναιρεῖται, καὶ πεζὸς ἠπείγετο εἰς τὰς
Ἀθήνας. φρουρουμένης δὲ ὑπὸ ἀνδρῶν κακούργων τῆς
ὁδοῦ ἡμέρωσε. πρῶτον μὲν οὖν Περιφήτην τὸν Ἡφαί- 2
στου καὶ Ἀντικλείας, ὃς ἀπὸ τῆς κορύνης ἣν ἐφόρει κο-
ρυνήτης ἐπεκαλεῖτο, ἔκτεινεν ἐν Ἐπιδαύρῳ. πόδας δὲ
ἀσθενεῖς ἔχων οὗτος ἐφόρει κορύνην σιδηρᾶν, δι' ἧς
τοὺς παριόντας ἔκτεινε. ταύτην ἀφελόμενος Θησεὺς
ἐφόρει. δεύτερον δὲ κτείνει Σίνιν τὸν Πολυπήμονος καὶ 2
Συλέας τῆς Κορίνθου. οὗτος πιτυοκάμπτης ἐπεκαλεῖτο·
οἰκῶν γὰρ τὸν Κορινθίων ἰσθμὸν ἠνάγκαζε τοὺς παρ-
ιόντας πίτυς κάμπτοντας ἀνέχεσθαι· οἱ δὲ διὰ τὴν ἀσθέ- 2
νειαν οὐκ ἠδύναντο κάμπτειν, καὶ ὑπὸ τῶν δένδρων
ἀναρριπτούμενοι πανωλέθρως ἀπώλλυντο. τούτῳ τῷ
τρόπῳ Θησεὺς Σίνιν ἀπέκτεινεν.

INDEX.